τε, φαίνετε δ' ὠδὰν
Τὰν ποκ' ἐγὼ τλώοισι παρὸν ἄδ-
σα νομεῦσι.
Μηκέτ' ὄπι γλώσσας ἄκρας ὀλο-
φυγδόνα φύσης.
Τέτλιξ μὰν τέτλιγι φίλῳ, μύρ-
μακι δὲ μύρμαξ.
Ἴρηκες δ' ἴρηξιν· ἐμὶν δ' ἃ μῶσα, καὶ ὠδά.
Τᾶς μοι πᾶς εἴη πλεῖος δόμος·
ἔστε γὰ ὕπνῳ
Οὔτ' ἦαρ ὀξαπίνας γλυκερώτε-
ρον, ἔστε μελίσσαις
Ἄνθεα, ὅσσον ἐμὶν μῶσαι φίλαι·
οὓς γὰ ὀρῶσαι
Γαθεῦσιν, τὼς δ' ἔτι ποτ' δα-
λήσατο Κίρκα.

ΤΕΛΟΣ.

MAG 2010100

Digitized by Google

Ὧν μοι τρὶς κεφαλᾷ καὶ παρ
ποσὶ κώεα κεῖνται.
Ἓν πυρὶ δ' ἐρυίνῳ χορταζεῖ, ἓν
πυρὶ δ' αὖαι
Φαγροὶ χθμαίνοντες· ἔχω δέ τοι
ὐδ' ὅσον ὤρην
Χείματος, ἢ νοσδὸς καρύων ἀ-
μύλοιο πάροντος,
Τοῖς μὲν ἐπιπλατάγιτα, καὶ αὖ-
τίκα δῶρον ἔδωκα.
Δάφνιδι μὲν κορυῦαν, τάν μοι
παῖδες ἔρεφον ἀγροὶ
Αὐτοφυᾶ. τὰν ὐδ' ἂν ἴσως μω-
μάσατο τέκτων.
Τιμῶ δ' ἐρόμβω καλὸν, ὅρα-
κον, ὃν χρέος αὐτὸς
Σιτάλθω, πέζαισιν ἐν Ἰκαρίαισι
δοκεύσας,
Πέντε ταμῶν, πέντ' ὗσιν. ὁ δ'
ἐγκαναχήσατο κόχλῳ.
Βωκολικαὶ μῶσαι μάλα χαίρε-
τε,

ἀδὺ δὲ χ' ἁ βαῦς.

Ἁδὺ δὲ χ' ἁ σύριγξ, χὠ βωκόλος· ἀδὺ δὲ κἠγών.

Ἐντὶ δέ μοι παρ ὕδωρ ψυχρὸν ςιβάς· ἐν δὲ νένασται

Ἀδυκᾶν ἐκ δαμαλᾶν καλὰ δέρματα, τάς μοι ἁπάσας

Λιψ κόμαεον ζωγρῆσας ἀπὸ σκοπᾶς ἐτίναξε.

Τᾦ δὲ θέρευς φρυγόντος ἐγὼ τόσσον μελεδαίνω,

Ὅσσον ἐρῶν τι παῖς μύθων, καὶ μὴ ζὸς ἀκούειν.

Οὔτω Δάφνις ἄεισεν ἐμίν· ὕπτω δὲ Μενάλκας.

ΜΕ. Αἴτινα μᾶτερ ἐμὰ, κἠγὼ καλὸν ἄνδρον ἐνοικῶ

Κοίλαις ἐν ῥέθρηςιν· ἔχω δέ τοι ὅσσ' ἐν ὀνείρῳ

Φαίνονται, πολλὰς μὲν ὀΐς, πολλὰς δὲ χιμαίρας,

Ὧν

ΘΕΟΚΡΙΤΟΥ

Νομεὺς, ἢ Βυκόλοι
Εἰδύλλιον θ'.

ΔΑΦΝΙΣ, καὶ ΜΕΝΑΛΚΑΣ.

ΜΕ. Βωκολιάσδεο, Δάφνι. τὺ δ' ὠδᾶς ἄρχεο πρῶτος·
Ὠιδᾶς ἄρχεο πρῶτος, ἐφεψάσθω δὲ Μενάλκας.
Μόχθως βωσὶν ὑφέντες· ὅπη σείραισι δὲ ταὔρως.
Χ' οἱ μὲν ἀμὸν βόσκοιντο, καὶ ἐν φύλλοισι πλανᾶντο
Μηδὲν ἀπημαγελοῦντες. ἐμὶν δὲ τὺ βωκολιάσδευ
Ἔμποθεν. ἄλλωθεν δὲ γ' ὑπὸ κείνοιτο Μενάλκας.

ΔΑ. Ἁδὺ μὲν ἀ μόχθος γαρύεται, ἁδὺ

Ε᾽ρεχθέος ἀστῶν, Α᾽πόλ-
λωνι, οἵ τεόν γε δόμον Πυθῶνι δίᾳ
Θαητὸν ἔτευξαν. Α᾽γον-
τι δέ με πέντε μὲν Ι᾽σθμοῖ
Νῖκαι· μία δ᾽ ἐκ Νεμέας
Δίος Ο᾽λυμπίας· δύο δ᾽ ἀπὸ Κίρ-
ρας,

ἐπωδὸς. κώλων θ᾽.

Ω᾽ Μεγάκλεες, ὐ-
μαί τε καὶ προγόνων·
Νέᾳ δ᾽ ὐπαγγελίᾳ
Χαίρω τι· τὸ δ᾽ ἀ᾽χνυμαι,
Φθόνον ἀμειβόμενον
Τὰ καλὰ ἔργα. Φαντί γε μὴν,
Οὕτω κεν ἀνδρὶ πὰρ μονίμαν
Θάλλοισαν ὐδαιμονίαν,
Τὰ καὶ τὰ φήρεσθ᾽.

ΘΕΟ-

ΠΙΝΔΑΡΟΥ

Τῶν Πυθίων εἶδος ζ'.

Μεγακλεῖ Ἀθηναίῳ πεντέπτῳ.

στροφὴ. κώλων ζ'.

Κ Ἄλλιστον αἱ μεγαπόλιες Ἀθᾶναι
Πεδοίμιον Ἀλκμαιονίδᾶν
Εὐρυσθενεῖ χθονὶ, κρηπίδ' ἀοιδᾶν
Γ' πασισι βαλέσθαι. Ἔπειτ'
Τίνα πάξαν; τίνα τ' οἶκον
Ναίοντ' ὀνομάξομαι
Ἔπιφανέστερον Ἑλλάδι πύθεσθαι;

ἀντιστροφὴ. κώλων ζ'.

Πάσαισι γὰρ πολίεσι λόγῳ ὁμιλεῖ
Ἔρε-

Οὗτος ἄγκειται. Τὰ μὲν ἀμετέρᾳ
Γλῶσσα ποιμαίνειν ἐθέλῃ.
Ἐκ Θεῶν δ' ἀνὴρ σοφᾷς ἀνθεῖ ἔσσεσὶ
πραπίδεσσιν.
Ἰοθι νεῦ, Ἀρχεσράτε πατ, πᾶς,
Ἀγησίδαμε, πυγμαχίας ἕνεκεν

ἐπῳδὸς ἀ. κώλων ί.

Κόσμον ὄπι στεφάνῳ χρυσέας ἐλαίας
Ἀδυμελῆ κελαδήσω, τῶν Ἐπι-
ζεφυρίων Λοκρῶν ὑμνέων ἀλέγων.
Ἔνθα συγκωμάζατ'. Ἐγὼ δέομαι
Μή μιν, ὦ Μοῖσαι, φυγόξενον στρα-
τὸν,
Μηδ' ἀπείρατον καλῶν,
Ἀκέρδειαν δὲ καὶ αἰχματᾶν ἀφί-
ξεσθαι. Τὸ γὰρ
Ἔμφυες, ὅτ' αἴθων ἀλώπηξ,
Οὔτ' εἰβερμοι λέοντες,
Διαλλάξαιντο ἦθος.

ΠΙΝ-

ΠΙΝΔΑΡΟΥ

Τῶν Ὀλυμπιονικῶν Εἶδος ιά.
Ἀγησιδάμῳ, τόκος.

= στροφὴ ά. κώλων ς'. =

Ἔστιν ἀνθρώποις ἀνέμων ὁτὲ πλείστα
Χρῆσις· ἔστιν δ' ἐραννίων ὑδάτων
Ὀμβρίων, παίδων νεφέλας.
Εἰ δὲ σοὶ πόνῳ τις ἁδὼ θρέψασα, μελιγάρυες ὕμνοι
Τέρψιν ἀρχαὶ λόγων τέλλεται,
Καὶ πιστὸν ὄρχιον μεγάλαις ἀρεταῖς·

= ἀντιστροφὴ ά. κώλων ς'. =

Ἀφθόνατος δ' αἶνος Ὀλυμπιονίκαις

Θέλω, θέλω μανῆναι.
Ἐμαίνετ' Ἡρακλῆς πρὶν,
Δεινὰ κλονᾶν φαρέτρην,
Καὶ τόξον Ἰφίτειον·
Ἐμαίνετο πρὶν Αἴας,
Μετ' ἀσπίδ' ἡμαλαίνων
Τὰ Ἕκτορος μάχαιραν·
Ἐγὼ δ' ἔχων κύπελλον,
Καὶ στέμμα τοῦτο χαίταις,
Οὐ τόξον, οὐ μάχαιραν,
Θέλω, θέλω μανῆναι.

Εἰς Ἔρωτα. ιέ.

Τὸν Ἔρωτα γὰρ τὸν ἀβρὸν
Μέλπομαι, βρύοντα μίξεως
Πολυανθέμοις, ἀοιδαῖς·
Οὐδὲ καὶ θεὰν δυνάστης,
Οὐδὲ καὶ βροτοὺς δαμάζει.

Περίμενόν με, Κυβήβα,
Ῥόδα δ' ὸς, θέλω στέφεσθ.
Πολιὸν δὲ γῆρας ἥκας
Νέῳ ἐν νέοις χορεύσω.
Διονυσίης δέ μοί πε
Φερέτω δῶρον ὀπώρης,
Ἵν' ἴδῃ γέροντος ἀλκήν,
Δεδαηκότι μὲν εἰπεῖν,
Δεδαηκότι δὲ πίνειν,
Χαρίεντος δὲ μανῆναι.

Εἰς ἑαυτὸν. ιδ'.

Ἄφες με, τὰς θεὰς σοι,
Πιεῖν, πεῖν ἀμυστί.
Θέλω, θέλω μανῆναι,
Ἐμαίνετ' Ἀλκμαίων τε,
Χὠ λευκόπωλος Ὀρέστης,
Τὰς μητέρας κτανόντες.
Ἐγὼ δὲ μηδένα κτὰς,
Πιὼν δ' ἐρυθρὸν οἶνον,

Ὅπη πίνειν δεῖ μετρίως. ιβ'.

Ἄγε δὴ, φέρ' ἡμῖν, ὦ παῖ,
Κελέβιον, ὅπως ἀμύσιν
Περπίω· τὰ μὲν δέκ' ἔγχεε
Ὕδατος, τὰ πέντε δ' οἴνου
Κυάθους· ὑβριστὰν δὲ
Φρένα δεῦε Βασσαρήσιν.
Ἄγε δῶτε· μηκέθ' ὕπτα,
Πατάγῳ τε καὶ λαλήθῳ
Σκυθικὸν πόσιν παρ' οἴνῳ
Μελετῶμεν· ἀλλὰ καλοῖς
Ὑποπινόμεθ' ἐν ὕμνοις.

Εἰς ἑαυτὸν. ιγ'.

Ὅτ' ἐγὼ νέων ὅμιλον
Ἔσορῶ, πάρεστι ἥβη·
Τότε δὴ, τότ' ἐς χορείαν
Ὁ γέρων ἐγὼ περῶμαι.

Πε-

Ὅτ' ἐγὼ πίω τὸν οἶνον,
Τόδε μοι μόνῳ τὸ κέρδος·
Τόδ' ἐγὼ λαβὼν ἀποίσω·
Τὸ θανεῖν γὰρ μὴ πάντων.

Εἰς Διόνυσον. ιά.

Ὁ Τὸν ἐν πόνοις ἀτειρῆ,
Νέον ἐν πάθοις ἀταρβῆ,
Καλὸν ἐν πότοις χορευτὴν
Τελέων, θέον κατῆλθες,
Ἁπαλὸν βεβοτρυωμένοις φίλτρον,
Πότον ἄσονον, κομίζων·
Γόνον ἀμπέλου τὸν οἶνον
Πεπεδημένον γ' ὀπώραις
Ἐπὶ κληματίνων φυλάσσων.
Γ' ὅταν τάμωσι βότρυν,
Ἄνοσοι μεθύουσι πάντες,
Ἄνοσοι δέμας θεπτὸν,
Ἄνοσοι γλυκεῖ τε θυμὸν,
Ἐς ἔτος φανέντος ἄλλου.

Εἰς ἑαυτὸν. ί.

Ὅτ' ἐγὼ πίω τὸν οἶνον,
Πότε μοὶ ὕπορ ἰανθὲν
Μύσας ἄρχεται λιγαίνειν.
Ὅτ' ἐγὼ πίω τὸν οἶνον,
Ἀ'πορίπτεται μέριμνα,
Πολυφοντίδες τε βυλαὶ
Ἐ'ς ἀλικτύπους ἀήτας.
Ὅτ' ἐγὼ πίω τὸν οἶνον
Φιλοπαίγμων τότε Βάκχος
Πολυανθέσιν μ' ἐν αὔραις
Δονέει μέθη γανώσας.
Ὅτ' ἐγὼ πίω τὸν οἶνον,
Στεφάνυς ἄνθεσι πλέξας,
Ἐ'πιθεὶς δὲ τῷ καρήνῳ,
Μέλπω βιότε γαλυίλω.
Ὅτ' ἐγὼ πίω τὸν οἶνον,
Τ'ποκύρτοισι κυπέλλοις,
Τὸν ἐμὸν νόον γ' ἁπλώσας
Θιάσῳ γέγηθα κύρσαν.

Ὅτ'

Πίωμὶν ἓν τὸν οἶνον,
Τὸν τῷ Καλῷ Λυαίῳ·
Σωὶ τῇ πιεῖν γὸ ἡμᾶς,
Εὔδηση αἰ μέλιμνα.

Εἰς ἑαυτὸν. θ'.

Ἐ'γὼ γέρων μὶν εἰμι,
Νέων πλέον δὲ πίνω·
Κἄν δείσῃ με χορδή φν,
Σκῆπτρον ἔχω τὸν ἀσκόν·
Νάρθηξ γὸ ἐδέν ὄρθιν.
Ὁ' μὶν θέλων μάχεσθαι,
Πάρεστι γὸ, μαχέσθω.
Ἐ'μοὶ κύπελλον, ὦ παῖ,
Μελιχρὸν οἶνον, ἡδὺ ὠ,
Ἐ'γκερράσας φόρησον.
Ἐ'γὼ γέρων μὶν εἰμι·
Σελλωὸν ἐν μέσοις δὲ
Μιμέμνημ' χορδῦσω.

Εἰς

Εἰς ἑαυτὸν. ζ'.

Ἐπὴ βεβρός γ' ἐτέχθην,
Βιότε ξείβον ὁδὸν ἅπαν,
Χρόνον, ὃς παρῆλθεν, ἔγνων·
Οὐκ ἔχω δραμεῖν, πῆς οἶδε;
Μέθες ἔν με, φερεπτὶ δεινὴ,
Οὐδέν ὄξι σοί τε κἀμοί·
Πεὶν ἐμὲ φθίσῃ πελώτην,
Παίζω, γελάσω, χορεύσω
Μετὰ τῆ Καλῆ Λυαίε.

Εἰς ἑαυτὸν. ή.

Ὅταν πίω τὸν οἶνον,
Εὕδουσι αἱ μέριμναι·
Τί μοι γόων, τι μόχθων,
Τί μοι μέλῃ μεριμνᾶν;
Θάνοιμι κἄν μελήσας·
Τί δὲ τὸν βίον πλανᾶσθαι;

Πίω-

Σοφὲ, γηγυὴς, φίλυμνε,
Ἀπαθὴς, ἄναιμ', ἄσαρκε,
Σχεδὸν εἶ θεοῖς ὅμοιος.

Εἰς τὸ γῆρας. ς'.

Πολιοὶ μὲν ἦμιν ἤδη
Κρόταφοι, κάρη δὲ λευκόν·
Χαρίεσσα δ' οὐκ ἔθ' Ἥβη
Πάρα· γηραλέοι δ' ὀδόντες·
Γλυκερῆ δ' οὐκ ἔτι πολλὸς
Βιότου χρόνος λέλειπται.
Διὰ ταῦτ' ἀναστενάζω
Θαμὰ, Τάρταρον δεδοικώς·
Ἀΐδεω γὰρ δεινὸς ὀχλὸς
Μυχὸς· ἀργαλέη δ' ἐς αὐτὸν
Κάθοδος· τὸ γὰρ ἔτοιμον
Καταβάντι μὴ 'ναβῆναι.

* * * *
* * *

Εἰς

Βεθμίς σέφεται τὸ νᾶμα,
Κατὰ φύλλον, κ᾽ κλωνα
Καθελὼν ἀνθισε καρπός.

Εἰς Τέττιγα. έ.

Μακαρίζομέν σε, τέττιξ,
Ὅτι δενδρέων ἐπ᾽ ἄκρων
Ὀλίγην δρόσον πεπωκὼς,
Βασιλεὺς ὅπως, ἀείδεις.
Σὰ γάρ ἐστι κεῖνα πάντα,
Ὅ,τι πόα βλέπεις ἐν ἀγροῖς,
Κ᾽ ὅτι πόα φέρουσιν Ὧραι.
Σὺ γὲ εἶ φίλος γεωργῶν,
Ἀπὸ μηδενός τι βλάπτων.
Σὺ δὲ τιμιος βροτοῖσι,
Θέρεος γλυκὺς προφήτης.
Φιλέουσι μέν σε Μοῦσαι,
Φιλέει δὲ Φοῖβος αὐτὸς,
Λιγυρὴν δ᾽ ἔδωκεν οἰμὴν.
Τὸ δὲ γῆρας οὐ σε τείρει.

Σο-

Τί καὶ μάτην στενάζω;
Τί καὶ γόους θερπομπῶ,
Θανεῖν χὐκὶ πέφυκται,
Τί χρυσὸς ὠφελεῖ με;
Ἐμοὶ γλύοιτο πίναν·
Πιόντι δ' οἶνον ἡδὺν
Ἐμοῖς φίλοις συεῖναι.

Εἰς τὸ Ἔαρ. δ'.

Ἴδε, πῶς Ἔαρος φαέντος,
Χάριτες ῥόδα βρύουσιν.
Ἴδε, πῶς κῦμα θαλάσσης
Ἁπαλύνεται γαλήνῃ.
Ἴδε, πῶς νῆσα κολυμβᾷ,
Ἴδε, πῶς γέρανος ὁδεύει·
Ἀφελὴς δ' ἔλαμψε Τιτάν.
Νεφελῶν σκιαὶ δινῶντω,
Τὰ βέρτατ' ἔλαμψεν ἔργα.
Καρποῖσι γῆ θερκύπτει·
Καρπὸς ἐλαίας θερκύπτει·

Βερ-

Εἰς τὸ δεῖν πίνειν. β'.

Ἡ Γῆ μέλαινα πίνει,
Πίνει δὲ δένδρε' ἀυτῆ·
Πίνει θάλασσα δ' αὔρας,
Ὁ δ' ἥλιος θάλασσαν,
Τὸν δ' ἥλιον σελήνη.
Τί μοι μάχεσθ', ἑταῖροι,
Καυτῷ θέλοντι πίνειν;

Εἰς χρυσόν. γ'.

Ὁ Πλοῦτος ἦγε χρυσοῦ
Τὸ ζῆν παρῆγε θνητοῖς,
Ἑκατέρων φυλάττων·
Ἵν' ἂν θανεῖν ἐπέλθῃ,
Λάβῃ τί, καὶ παρέλθῃ.
Εἰ δ' ὐδὲ τὸ φρίασθαι
Τὸ ζῆν ἔνεστι θνητοῖς,

Τί

ΑΝΑΚΡΕΟΝΤΟΣ ΤΗΙΟΥ.

Εἰς τὸ ἀφθόνως ζῆν. ά.

Ὀτ' μοι μέλει Γύγαο
Τῦ Σάρδιων ἄνακτ@
Οὔθ' αἱρέει με χρυσὸς
Οὐδ' ἐφθονᾶ τυραννοις·
Ἐμοὶ μέλει μύροισι
Καταβρέχειν ὑπήνην
Ἐμοὶ μέλει ῥόδοισι
Καταστέφειν κάρηνα.
Τὸ σήμερον μέλει μοι·
Τὸ δ' αὔριον τίς οἶδεν;
Ἐως ἔστ' ἔτ' ἐστὶ δῦναι,
Καὶ πῖνε καὶ κύβδδε
Καὶ πρόσδε τῷ Λυαίῳ.
Μὴ νῦσ@, ἐπὶ τις ἔλθῃ,
Λέγῃ, σὲ μηδὲ πίνειν.

Τῦ

Τῦ αὐτοῦ.

Ψιθυρος ὁ βροτόμορος, ἀφεὶς λυγροδυχέα κύρτον,
Ἦλυθεν εἰς δρυμὺς ἀνθοφυεῖ πτέρυσι.
Αἰεὶ δ' ἐκμελετῶν ἀπατάσμασι Καίσαρος ἀκλεινὸν
Οὐδ' ἀν' ὄρη λήθην ἤγαγεν ὀνόματος.
Ἔδραμε δ' ὠκυδίδακτος ἅπας οἰωνὸς, ἐείζων
Τὶς φθῆναι δύναται δαίμονι χαῖρ' ἐνέπων.
Ὀρφεὺς θῆρας ἔπεισεν ἐν ὕρεσιν· εἰς δέ σε Καῖσαρ,
Νωῒ ἀκέλευστος ἅπας ὄρνις ἀνακρέκεται.

ΑΝΑ-

Ἴσθι μοῖραν ἔχων Ἡρακλεῖ· καὶ γὰρ ἐκεῖνος
Τοσσ' ἀνύσας, ἄλλων ζεῦγλαν ἐφηρμόσατο.

ΦΙΛΙΠΠΟΥ.

Φοῖβον ἀνηναμένη ποτὲ Δάφνη, νῦν ἀνέτειλε,
Καίσαρος ἐκ βωμῶν, πλάνα μελαμπέταλον.
Εἰκὼ δὲ θεὸν θεὸν εὗρεν ἀμείμονα. Λητοΐδην γὰρ
Ἐχθήρασα, φιλεῖ Ζῆνα τὸν Αἰνεάδην.
Ῥίζαν δ' οὐκ ἀπὸ γῆς μηκὸς βάλεν, ἀλλ' ἀπὸ πέτρης,
Καίσαρι μὴ τίκτειν ὅδε λίθος δύναται.

Ἁρπακτὴρ αἰὼν οὐκ ὄπι χεῖρα βαλεῖ.

ΑΡΧΙΟΥ.

Ὃς Πρὶν ἀελλοποδῶν λάμψας πλέον Αἰετὸς ἵππων.
Ὑ πρὶν ὑπαὶ μίζαις κῶλα καθαψάμενος,
Ὃν Φοίβε χρησμῳδὸς ἀέθλιον ἔσεφε Πυθὼ,
Ὀρνύμενον πάντεις ὠκυπέταις ἴκελον,
Καὶ Νεμέη βλοσυρῷο τιθηνήτειρα λεόντος,
Πῖσά τε, καὶ δολιὰς ἥνας Ἰθμὸς ἔχων·
Νηῒ πλοιῳ δ' αἰρὶ πεπαλμένον, οἷα χαλίνῳ,
Καρτὸν ἐλᾷ Δηῢς ὀκρυόεντι λίθῳ·

Ἴσθι

ΕΠΙΓΡΑΜΜΑΤΑ

ΚΑΛΛΙΜΑΧΟΥ.

Τήνδε Σάων ὁ Δίκωνος Ἀχαρνῆι ἱερὸν ὕπνον
Κοιμᾶται· θνήσκειν μὴ λέγε τὸν ἀγαθόν.

Τοῦ αὐτοῦ.

Εἰ πέτις, ἢ ἐφίλειτε, τὸν μόρον· εἰς δέ με δάκρυ
Ἤγαγεν, ἐμνήσθην δ' ὁσσάκις ἀμφότεροι.
Ἥλιον ἐν λέσχῃ κατεδύσαμεν. ἀλλὰ σὺ μέν πως
Ξεῖν' Ἀλικαρνασσοῦ τετράπαλαι σποδιή.
Αἱ δὲ τεαὶ ζώουσιν ἀηδόνες· ἧισιν ὁ πάντων

Ἁρ-

ἅπαν σημαναῦ. τῆς τε γὰρ ὑπαρχούσης φύσεως μὴ χείρους ἡγεῖσθαι, ὑμῖν, μεγάλη ἡ δόξα, & οἷς ἂν ἐπ' ἐλάχιστον ἀρετῆς πέρι ἡ φύγη ἐν τοῖς ἄρσεσι κλέος ἦ. εἴρηται & ἐμοὶ λόγῳ καὶ τὸν νόμον, ὅσα εἶχον πρόσφορα. & ἔργῳ, οἱ θαπτόμενοι τὰ μὲν, ἤδη κεκόσμηνται. τὰ δὲ, ἀπὸν τοὺς παῖδας τὸ ἀπὸ τοῦδε δημοσίᾳ ἡ πόλις μέχρις ἥβης θρέψῃ, ὠφέλιμον στέφανον τοῖς δέ τε, καὶ τοῖς λειπομένοις ἆθλα τοιῶνδε ἀγώνων προτιθεῖσα. Ἄθλα γὰρ οἷς κεῖται ἀρετῆς μέγιστα, τοῖσδε & ἄνδρες ἄριστοι πολιτεύουσι· νῦν δὲ ἀπολοφυράμενοι ὃν προσήκει ἕκαστον, ἄπιτε.

Τοιόσδε μὲν ὁ τάφος ἐγένετο ἐν τῷ χειμῶνι τούτῳ.

ΕΠΙ-

δικάθειν, ἔκ τε τῶ μὴ ἐρημοῦσθαι, καὶ ἀσφαλείας ξυμποίσειν. ὁ γὰρ οἷόν τε ἴσόν τι, ἢ δίκαιον βελδίεσθαι, αἱ ἂν μὴ ἐς παῖδας ἐκ τῶν ὁμοίων ἐμβαλλόμενοι κινδυνεύωσιν. ὅσοι δ' αὖ παρηβήκατε, τόν τε πλείονα, κέρδος ὂν, δύτυχεῖτε βίον, ἡγεῖσθε, ἐς τόνδε βραχὺν ἔσεσθαι, καὶ τῆ πόνδε ἁπλείᾳ κυφίζεσθε. τὸ γὰρ φιλότιμον ἀγήρων μόνον καὶ ἐκ ἐν τῷ ἀχρείῳ τῆς ἡλικίας τὸ κερδαίνειν, ὥσπερ τινές φασι, μᾶλλον τέρπει, ἀλλὰ τὸ τιμᾶσθαι. παυσί δ' αὖ ὅσοι τῶνδε πάρεστε, ἢ ἀδελφοῖς, ὁρῶ μέγαν τὸν ἀγῶνα. Τὸν γὰρ ἐκ ὄντα ἄπαντας εἰώθασιν ἐπαινεῖν· ἐς μόλις ἂν καθ' ὑπερβολὴν ἀρετῆς ἐκ ὁμοίοι, ἀλλ' ὀλίγῳ χείρους κρίνοιντο. φθόνος γὰρ τοῖς ζῶσι πρὸς τὸν ἀντίπαλον. τὸ δ' ἐμὲ ἐμποδὼν, ἀναγωνίστῳ δόξης τετιμῆσθαι. εἰ δέ με δεῖ καὶ γυναικείας τι ἀρετῆς, ὅσαι νῦν ἐν χηρείᾳ ἔσονται, μνησθῆναι, βραχεῖα παραινέσει

κωσις, ἢ ὁ μὴ ῥώμης καὶ καινῆς ἐλπίδος ἅμα γιγνόμενος ἀναίσθητος θάνατος. διόπερ καὶ τὰς τῶνδε νεῶν τοκέας, ὅσοι πάρεσμεν, οὐκ ὀλοφύρομαι μᾶλλον, ἢ παραμυθήσομαι. ἐν πολυτρόποις γὰρ ξυμφοραῖς ἐπίστανται ζαφέντες. τὸ δ' αὐτυχὲς, οἱ ἂν τῆς εὐπρεπεστάτης λάχωσιν, ὥσπερ οἵδε μὲν νεῶν, τελευτῆς, ὑμεῖς δὲ λύπης· καὶ ἐν οἷς εὐδαιμονήσαί τε ὁ βίος ὁμοίως, καὶ εὐτελευτῆσαι ξυνεμπέπτωκε. χαλεπὸν μὲν οὖν οἶδα πείθειν ὑμᾶς, ὧν καὶ πολλάκις ἔξεστε ὑπομνήμασι ἐν ἄλλων εὐτυχίαις, αἷς ποτε καὶ αὐτοὶ ἠγάλλεσθε, καὶ λύπη οὐχ ὧν ἄν τις μὴ πειρασάμενος ἀγαθῶν στερίσκηται, ἀλλ' ὃ ἂν ἐθὰς γεγόμενος, ἀφαιρεθείη. καρτερεῖν δὲ χρὴ καὶ ἄλλων παίδων ἐλπίδι, οἷς ἔτι ἡλικία τέκνωσιν ποιεῖσθαι, ἰδίᾳ τε γὰρ τῷ οὐκ ὄντων λήθη οἱ ἐπιγιγνόμενοί τισιν ἔσονται· καὶ τῇ πόλει

διχό-

ρον ἔπαινον ἐλάμβανον, ⸗ τὸν τάφον ἐπισημότατον, οὐκ ἐν ᾧ κεῖνται μᾶλλον, ἀλλ' ἐν ᾧ ἡ δόξα αὐτῶν ἅπασα τῷ ἐντυχόντι ἀεὶ καὶ λόγου καὶ ἔργου καιρὸς ἀείμνηστος καταλείπεται. Ἀνδρῶν γὰρ ἐπιφανῶν, πᾶσα γῆ τάφος· καὶ οὐ στῆλαι μόνον ἐν τῇ οἰκείᾳ σημαίνει ἐπιγραφὴ, ἀλλὰ ⸗ ἐν τῇ μὴ προσήκουσῃ ἀγράφου μνήμη παρ' ἑκάστῳ τῆς γνώμης μᾶλλον, ἢ τῷ ἔργῳ ἐνδιαιτᾶται. ἃς νῦν ὑμεῖς ζηλώσαντες, καὶ τὸ εὔδαιμον, τὸ ἐλεύθερον, τὸ δὲ ἐλεύθερον, τὸ εὔψυχον κρίναντες, μὴ περιορᾶτε τοὺς πολεμικοὺς κινδύνους· οὐ γὰρ οἱ κακοπραγοῦντες δικαιότερον ἀφειδοῦσιν ἂν τοῦ βίου, οἷς ἐλπὶς οὐκ ἔστ' ἀγαθοῦ, ἀλλ' οἷς ἡ ἐναντία μεταβολὴ ἐν τῷ ζῆν ἔτι κινδυνεύεται, καὶ ἐν οἷς μάλιστα μεγάλα τὰ διαφέροντα, ἢν τι πταίσωσιν. Ἀλγεινότερα γὰρ ἀνδρί γε φρόνημα ἔχοντι ἢ ἐν τῷ μὴ τοῦ μαλακισθῆναι κά-

δόξης μᾶλλον, ἢ τὸ δέους ἀπηλλάγησαν· καὶ οἵδε μὲν πρεσβύτους τῇ πόλει τοιοίδε ἐλίποντο. τοὺς δὲ λοιποὺς χρὴ ἀσφαλεστέραν μὲν ἀρχὴν, ἀτολμοτέραν δὲ μηδὲν ἀξιοῦν τὴν ἐς τοὺς πολεμίους διάνοιαν ἔχειν, σκοποῦντας μὴ λόγῳ μόνῳ τὴν ἀφέλειαν· ὧν ἄν τις πρὸς ὑμᾶς εἰδότας μηκυόοι, λέγων ὅσα ἐν τῷ τοὺς πολεμίους ἀμύνεσθαι, ἀγαθὰ ἔνεστιν· ἀλλὰ μᾶλλον τὴν τῆς πόλεως δύναμιν καθ' ἡμέραν ἔργῳ θεωμένους, καὶ ἐραστὰς γιγνομένους αὐτῆς. καὶ ὅταν ὑμῖν μεγάλη δόξῃ εἶναι, ἐνθυμουμένους ὅτι τολμῶντες, καὶ γιγνώσκοντες τὰ δέοντα, καὶ ἐν τοῖς ἔργοις αἰσχυνόμενοι ἄνδρες αὐτὰ ἐκτήσαντο· καὶ ὁπότε καὶ πείρᾳ τοῦ σφαλεῖεν, ὥστε καὶ τὴν πόλιν γε τῆς σφετέρας ἀρετῆς ἀξιοῦντες στερίσκειν, κάλλιστον δὲ ἔρανον αὐτῇ προϊέμενοι. κοινῇ γὰρ τὰ σώματα διδόντες, ἰδίᾳ τὸν ἀγήρων

ἔφον

λέμους ὑπὲρ τῆς παρίδος ἀνδραγαθίαν προτίθεσθαι. ἀγαθῷ γὰρ κακὸν ἀφανίσαντες, κοινὰς μᾶλλον ὠφέλησαν, ἢ ἐκ τῆς ἰδίων ἔβλαψαν. τῶνδε δὲ ὅτε πλούτου τὶς τὴν ἔτι ἀπόλαυσιν προτιμήσας ἐμαλακίσθη, ὅτε πενίας ἐλωτίδι, ὡς καὶν ἔτι δραφυγὼν αὐτὴν πλουτήσειεν, ἀναβολὴν τῷ δεινῷ ἐποιήσατο. τὴν δὲ τῆς ἐναντίων τιμωρίαν προθυμοτέραν αὐτῶν λαβόντες, καὶ κινδύνων ἅμα τόνδε κάλλιστον νομίσαντες, ἠβουλήθησαν μετ' αὐτοῦ, τὸς μὲν, τιμωρεῖσθαι, τῆς δὲ ἐρίεδος. ἐλπίδι μὲν τὸ ἀφανὲς τῆς κατορθώσεων ὑπερβάλλοντες, ἔργῳ δὲ ὑπὲρ τῆς ἤδη ὁρωμένης σφίσιν αὐτοῖς ἀξιοῦντες πεποιθέναι. καὶ ἐν αὐτῷ τῷ ἀμύνασθαι καὶ παθεῖν, μᾶλλον ἡσυχάσαντες, ἢ τῷ ἐνδόντες σώζεσθαι, τὸ μὲν αἰσχρὸν τῷ λόγῳ ἔφυγον, τὸ δ' ἔργον, τῷ σώματι ὑπέμειναν, καὶ δι' ἐλαχίστης καιρῷ τύχης ἅμα ἀκμῇ τῆς

ξαναγκάσαντες χωρεῖσθαι, παντα χῆ δὲ μνημεῖα κακῶντε καὶ ἀγαθῶν ἀΐδια ζυγκατοικίσαντες. περὶ τοιαύτης δὴ πόλεως οἵδε τε χωναίως, δικαιοῦντες μὴ ἀφαιρεθῆναι αὐτὴν, μαχόμενοι ἐτελεύτησαν, καὶ τῶν λιπομένων πάντα τινὰ ἀνὸς ἐθέλειν ὑπὲρ αὐτῆς κάμνειν. διὸ δὴ καὶ ἐμήκυνα τὰ περὶ τῆς πόλεως, διδασκαλίαν τε ποιούμενος μὴ περὶ ἴσου ἡμῖν εἶναι τὸν ἀγῶνα, καὶ οἷς τῶνδε μηδὲν ὑπάρχει ὁμοίως, καὶ τὴν ἀλογίαν ἅμα ἐφ' οἷς νῦν λέγω φανερὰν σημείοις καταστάς, καὶ εἴρηται αὐτῆς τὰ μέγιστα, ἃ γὰρ τὴν πόλιν ὕμνησα, αἱ τῶνδε καὶ τῶν τοιῶνδε ἀρεταὶ ἐκόσμησαν· καὶ οὐκ ἂν πολλοῖς τῶν Ἑλλήνων ἰσόρροπον, ὥσπερ τῶνδε, ὁ λόγος τῶν ἔργων φανείη. δοκεῖ δέ μοι δηλοῦν ἀνδρὸς ἀρετὴν, ὁποία τε μηνύσασα, καὶ τελευταία βεβαιοῦσα, ἡ νῦν τῶνδε καταστροφή. καὶ γὰρ τοῖς τἆλλα χείροσι δίκαιον τὴν ἐς τὸς πολέ-

μους

δοκεῖν ἄν μοι τὸν αὐτὸν ἄνδρα παρ' ἡμῶν ὅτι πλεῖστ' ἂν εἰδῆ, καὶ μὴ χαείτων μάλιστ' ἂν ἐξαπίλως τὸ σῶμα αὐτάρκες παρέχεσθαι. καὶ ὡς ἐ λόγων ἐν τῷ παρόντι κόμπος τάδε μᾶλλον, ἢ ἔργων ὄζιν ἀλήθεια, αὐτὴ ἡ δυύαμις τῆς πόλεως, ἣν ἀπὸ τωνδε τῶν τρόπων ἐκτησάμεθα, σημαίνει. μόνη γὲ τῶν ναῦν ἐκοῆς χρείασων ἐς πεῖραν ἔρχεται, καὶ μόνη ἔτε τῷ πολεμίῳ ἐπελθόντι ἀγανάκτησιν ἔχει ὑφ' οἵων κακοπαθεῖ, ἔτε τῷ ὑπηκόῳ κατάμεμψιν, ὡς ἐχ ὑπ' ἀξίων ἄρχεται. μὴ μεγάλων δὲ σημείων, ἐ δήπε ἀμάρτυρόν γε τὴν δυύαμιν ὑποδεχόμεθα, τοῖς τε νῦν, ἐ τοῖς ἔπειτα θαυμαθησόμεθα· καὶ ἐδὲν δεησόμεθοι ἔτε Ὁμήρε ἐπαινέτε, ἔτε ὅστις ἔπεσι μὲν τὸ αὐτίκα τέρπει, τὴν δ' ἔργων τὴν ὑπόνοιαν ἡ ἀλήθεια βλάπτει, ἀλλὰ πᾶσαν μὲν θάλασσαν, ἐ γῆν ἐσβατὸν τῇ ἡμετέρᾳ τόλμῃ κα-

ἔργῳ ἐλθεῖν. διαφερόντως γὰρ δὴ καὶ τόδε ἔχομεν, ὥστε τολμᾶν τε οἱ ἀπὸ τοῦ μάλιστα, καὶ περὶ ὧν ἐπιχειρήσομεν, ἐκλογίζεσθαι. ὃ τοῖς ἄλλοις ἀμαθία μὲν θράσος, λογισμὸς δὲ ὄκνον φέρει. κράτιστοι δ' ἂν τὴν ψυχὴν δικαίως κριθεῖεν, οἵ τά τε δεινὰ, καὶ ἡδέα σαφῶς γιγνώσκοντες, καὶ διὰ ταῦτα μὴ ἀποτρεπόμενοι ἐκ τῶν κινδύνων. καὶ τοὶ ἐς ἀρετὴν ἀνταντιώμεθα τοῖς πολλοῖς· Οὐ γὰρ πάσχοντες εὖ, ἀλλὰ δράντες, κτώμεθα τοὺς φίλους. βεβαιότερος δὲ ὁ δράσας τὴν χάριν, ὥστε ὀφειλομένην δι' εὐνοίας ᾧ δέδωκε σώζειν· ὁ δ' ἀνοφειλών, ἀμβλύτερος, εἰδὼς μὴ ἐς χάριν, ἀλλ' ἐς ὀφείλημα τὴν ἀρετὴν ἀποδώσων. καὶ μόνοι ἀ τῷ ξυμφέροντι θαρσαλεώτατον λογισμῷ, ἢ τῆς ἐλευθερίας τῷ πιστῷ ἀδείᾳ τινὰ ὠφελεῖμθαι. ξυνελών τε λέγω, τήν τε πᾶσαν πόλιν, τῆς Ἑλλάδος παίδευσιν εἶναι, καὶ καθ' ἕκαστον

δο-

ἐθέλομεν κινδυνεύειν, προεγίγνεται ἡμῖν τοῖς τε μέλλουσιν ἀληθνοῖς μὴ προσκάμνειν, καὶ ἐς αὖ τὰ ἐλθεῖν, μὴ ἀτολμοτέρους τῷ ἀεὶ μοχθήσειν φαίνεσθαι· καὶ ἔντε τούτοις τὴν πόλιν ἀξίαν εἶναι θαυμάζεσθαι, ἢ ἔτι ἐν ἄλλοις. φιλοκαλοῦμέν τε γὰρ μετ' εὐτελείας, καὶ φιλοσοφοῦμεν ἀνευ μαλακίας· πλούτῳ τε ἔργου μᾶλλον ἐν καιρῷ ἢ λόγου κόμπῳ χρώμεθα. καὶ τὸ πένεσθαι οὐχ ὁμολογεῖν τινι αἰσχρὸν, ἀλλὰ μὴ διαφεύγειν ἔργῳ, αἴσχιον. ἔνι τε τοῖς αὐτοῖς οἰκείων ἅμα, καὶ πολιτικῶν ἐπιμέλεια, καὶ ἑτέροις πρὸς ἔργα τεταμμένοις, τὰ πολιτικὰ μὴ ἐπιστέως γιγνώσκειν. μόνοι γὰρ τόντε μηδὲν τῇδε μετέχοντα, οὐκ ἀπράγμονα, ἀλλ' ἀχρεῖον νομίζομεν· καὶ αὐτοί ἢ οἱ κείνομεν γε, ἢ ἐνθυμούμεθα ὀρθῶς τὰ πράγματα, οὐ τοὺς λόγους τοῖς ἔργοις βλάβην ἡγούμενοι, ἀλλὰ μὴ προδιδαχθῆναι μᾶλλον λόγῳ πρότερον, ἢ ὅπως ἂ δέη

ἀφ' ἡμῶν αὐτῶν ἐς τὰ ἔργα ἀ ψύχῳ· καὶ ἐν ταῖς παιδείαις, οἱ μὲν, ὀπιπόνῳ ἀσκήσει, ἀὐθὺς νέοι ὄντες, τὸ ἀνδρεῖον μετέρχονται· ἡμεῖς δὲ, ἀνειμένως διαιτώμενοι, οὐδὲν ἧσσον ὅπι τοῖς ἰσοπαλέσι κινδύνοις χωροῦμεν. τεκμήριον δέ· ὅτε γὰρ Λακεδαιμόνιοι καθ' ἑκάτερα, μὴ πάντων δ' ἐς τὸν γῆν ἡμῶν στρατεύουσι· τήν τε τῶν πέλας αὐτοὶ ἐπελθόντες, καὶ χαλεπῶς ἐν τῇ ἀλλοδίᾳ τοὺς περὶ τῶν οἰκείων ἀμυνομένους μαχόμενοι τὸ πλέον κρατοῦμεν. ἀ θεράπαινα τε τῇ δυσαέμει ἡμῶν οὐδείς πω πολεμίῳ ἐνέτυχε, διὰ τὸν τὸ ναυτικὸν τε ἅμα ὄπι μέλειαν, καὶ τὸν ἐν τῇ γῇ ὅπι πολλαὶ ἡμῶν αὐτῶν ὄπιπεμψιν. καὶ δὲ καὶ μορίῳ τινὶ προσμίξωσι, κρατήσαντές τε τινὰς ἡμῶν, πάντας ἀν χοῦσιν ἀπαθεῖς, καὶ νικηθέντες, ὑφ' ἁπάντων ἀσπαθεῖς. καίτοι εἰ ῥᾳθυμίᾳ μᾶλλον ἢ πόνων μελέτῃ, καὶ μὴ μετὰ νόμων τὸ πλεῖον, ἢ ξόπων ἀνδρείας

ἐθέ-

καὶ μάλιστα αὐτῶν ὅσοι τε ἐπ' ἀφελείᾳ τῆς ἀδικουμένων κεῖνται, καὶ ὅσοι ἄγραφοι ὄντες αἰσχύνῃ ὁμολογουμένῃ φέρουσι. καὶ μὲν καὶ τῶν πόνων πλείστας ἀναπαύλας τῇ γνώμῃ ἐποιησάμεθα, ἀγῶσι μέν γε καὶ θυσίαις διετησίοις νομίζοντες, ἰδίαις δὲ καταστάσεσιν ἀφιεμένοις, ὧν καθ' ἡμέραν ἡ τέρψις τὸ λυπηρὸν ἐκπλήσσει. ἐπισέρχεται δὲ καὶ μέγεθος τῆς πόλεως ἐκ πάσης γῆς τὰ πάντα. καὶ ξυμβαίνει ἡμῖν μηδὲν οἰκειοτέρᾳ τῇ ἀπολαύσει τὰ αὐτοῦ ἀγαθὰ γιγνόμενα καρπώσασθαι, ἢ καὶ τὰ τῶν ἄλλων ἀνθρώπων. διαφέρομαι δὲ καὶ ταῖς τῶν πολεμικῶν μελέταις τῶν ἐναντίων τοῖσδε. τήν τε γὰρ πόλιν κοινὴν παρέχομεν, καὶ οὐκ ἔστιν ὅτε ξενηλασίαις ἀπείργομεν τινα ἢ μαθήματος, ἢ θεάματος, μὴ κρυφθὲν ἂν τις τῶν πολεμίων ἰδὼν ὠφεληθείη· πιστεύοντες γὰρ ταῖς παρασκευαῖς τὸ πλέον καὶ ἀπάταις, ἢ τῷ

παράδειγμα δὲ αὐτοὶ μᾶλλον ὄντες τισὶν, ἢ μιμούμενοι ἑτέρους, καὶ ὄνομα μὲν, διὰ τὸ μὴ ἐς ὀλίγους, ἀλλ' ἐς πλείονας οἰκεῖν, δημοκρατία κέκληται. μέτεστι δὲ κατὰ μὲν τοὺς νόμους, πρὸς τὰ ἴδια διάφορα πᾶσι τὸν ἴσον, κατὰ δὲ τὴν ἀξίωσιν, ὡς ἕκαστος ἔν τῳ εὐδοκιμεῖ, οὐκ ἀπὸ μέρους τὸ πλέον ἐς τὰ κοινὰ, ἢ ἀπ' ἀρετῆς προτιμᾶται. οὐδ' αὖ κατὰ πενίαν, ἔχων δέ τι ἀγαθὸν δρᾶσαι τὴν πόλιν ἀξιώματος ἀφανείᾳ κεκώλυται. ἐλευθέρως δὲ τά τε πρὸς τὸ κοινὸν πολιτεύομεν. καὶ ἐς τὼ πρὸς ἀλλήλους τὴν καθ' ἡμέραν ὑποψίαν, οὐ δι' ὀργῆς τὸν πέλας, εἰ καθ' ἡδονήν τι δρᾶν ἔχοντες, οὐδὲ ἀζημίους μὲν λυπηρὰς δὲ τῇ ὄψει ἀχθηδόνας προστιθέμενοι, ἀνεπαχθῶς δὲ τὰ ἴδια προσομιλοῦντες, τὰ δημόσια διὰ δέος μάλιστα οὐ παρανομοῦμεν τήν τε ἀεὶ ἐν ἀρχῇ ὄντων ἀκροάσει, καὶ τῶν νόμων, καὶ

οἷς ἐδέξαντο ὅσην ἔχομεν ἀρχὴν, οὐκ ἀπόνως ἡμῖν τοῖς νεωτέροις προσκατέλιπον. τὰ δὲ πλέω αὐτῆς, αὐτοὶ ἡμεῖς οἵδε, οἱ νεῦ ἔτι ὄντες, μάλιστα ἐν τῇ καθεστηκυίᾳ ἡλικίᾳ ἐπηυξήσαμεν. καὶ τὴν πόλιν τοῖς πᾶσι παρεσκευάσαμεν καὶ ἐς πόλεμον, καὶ ἐς εἰρήνην αὐταρκεστάτην. ὧν ἐγὼ τὰ μὲν κατὰ πολέμους ἔργα, οἷς ἕκαστα ἐκτήθη, ἢ εἴτι αὐτοί, ἢ οἱ πατέρες ἡμῶν βάρβαρον ἢ Ἕλληνα πόλεμον ὁπόντα προθύμως ἠμυνάμεθα, μακρηγορεῖν ἐν εἰδόσιν οὐ βουλόμενος, ἐάσω. ἀπὸ δὲ οἵας τε ὁπωστιοῦν ἀρχῆς ἤλθομεν ἐς αὐτὰ, καὶ μεθ' οἵας πολιτείας, καὶ τρόπων ἐξ οἵων μεγάλα ἐκτήσαντο, ταῦτα δηλώσας πρῶτον, εἶμι καὶ ὅπη τὸν τῶνδε ἔπαινον, νομίζων ὅπῃ τε τῷ παρόντι, οὐκ ἂν ἀπρεπῆ λεχθῆναι αὐτὰ, καὶ τὸν πάντα ὅμιλον καὶ ἀστῶν, καὶ ξένων ξύμφορον εἰς αὐτῶν ἐπακοῦσαι. χρήσιμα γὰρ πολιτεία ἡ ζηλοῦσα τοὺς τῶν πέλας νόμους.

πρᾶξά-

πρὸς ἃ βέλεταί τε ἕκαστα νομίσαι ἀληθῆ, ὅ, τε ἁπλοῦς, ἔστιν ἃ καὶ πλεονάζεσθαι, δι' ἡδονήν, εἴ τι ἄρα τὴν ἑαυτῶν φύσιν ἀκούει. Μέχρι μὲν τοῦδε, ἀνεκτοὶ οἱ ἔπαινοί εἰσι περὶ ἑτέρων λεγόμενοι, ἐς ὅσον αὐτὸς ἕκαστος οἴηται ἱκανὸς εἶναι δρᾶσαί τι, ὧν ἤκουσε· τὰ δὲ ὑπερβάλλοντα αὐτῶν φθονοῦντες, ἤδη καὶ ἀπιστοῦσιν. Ἐπειδὴ δὲ τῖς πάλαι ἔτους ἐδοκιμάσθη ταῦτα καλῶς ἔχειν, χρὴ καὶ ἐμὲ ἕπεσθαι τῷ νόμῳ, πειρᾶσθαι ὑμᾶς τῆς ἑκάστου βουλήσεώς τε καὶ δόξης τυχεῖν ὡς ὀρθῆς πλεῖστον. ἄρξομαι δὲ ἀπὸ τῶν προγόνων πρῶτον, δίκαιον γὰρ αὐτοῖς καὶ πρέπον ἅμα ἐν τῷ τοιῷδε τιμὴν τιμὴν ταύτην τῆς μνήμης ἀποδοῦναι. τιμὴν γὰρ χώραν ἀεὶ οἱ αὐτοὶ οἰκοῦντες, διαδοχῇ τῶν ἐπιγιγνομένων, μέχρι τοῦδε, ἐλευθέραν δι' ἀρετὴν παρέδοσαν. καὶ ἄξιοι μὲν ἐκεῖνοί τε ἐπαίνου, καὶ ἔτι μᾶλλον οἱ πατέρες ἡμῶν. κτησάμενοι γὰρ πρὸς

οἷς

τοῖς δὲ, Περικλῆς ὁ Ξανθίππου ἐρέθη λέγειν, καὶ ἐπειδὴ καιρὸς ἐλάμβανε, προελθὼν ἀπὸ τοῦ σήματος ὅπου βῆμα ὑψηλὸν πεποιημένον, ὅπως ἀκούοιτο ὡς ὅτι πλεῖστον τοῦ ὁμίλου, ἔλεγε τοιάδε.

Οἱ μὲν πολλοὶ τῶν ἐνθάδε ἤδη εἰρηκότων, ἐπαινοῦσι τὸν προσθέντα τῷ νόμῳ τὸν λόγον τόνδε, ὡς καλὸν ὅπου τοῖς ἐκ τῶν πολέμων διαπεπονημένοις ἀγορεύεσθαι αὐτὸν ἐμοὶ δ' ἂν ἀρκεῖν ἐδόκει εἰ, ἀνδρῶν ἀγαθῶν ἔργῳ δηλουμένων, ἔργῳ καὶ δηλοῦσθαι τὰς τιμάς. οἷα καὶ νυνὶ περὶ τὸν τάφον τόνδε δημοσίᾳ πολυτελῶς διακοσμηθέντα ὁρᾶτε, καὶ μὴ ἐν ἑνὶ ἀνδρὶ πολλῶν ἀρετὰς κινδυνεύεσθαι, εἴ τε καὶ χεῖρον εἰπόντι πιστευθῆναι. χαλεπὸν γὰρ τὸ μετρίως εἰπεῖν, ἐν ᾧ μόλις καὶ ἡ δόκησις τῆς ἀληθείας βεβαιοῦται. ὁ, τε γὰρ ξυνειδὼς, καὶ εὖνους ἀκροατὴς, τάχ' ἄν τι ἐνδεεστέρως

πρὸς

ἄγεσιν ἅμαξαι, φυλῆς ἑκάστης μίαν. ἔνεισι δὲ καὶ τὰ ὀστᾶ ἧς ἕκαστος ἦν φυλῆς. μία δὲ κλίνη κεῖται ἐστρωμένη τῷ ἀφανοῦντι, οἳ ἂν μὴ ἀφεθῶσιν ἐς ἀναίρεσιν. ξυνεκφέρει δὲ ὁ βουλόμενος καὶ ἀστῶν, καὶ ξένων. καὶ γυναῖκες παρῆσαν αἱ προσήκουσαι ὀλοφυρόμεναι. τίθενται ἔν ἐς τὸ δημόσιον σῆμα, ὅ ἐστιν ἔξω τοῦ καλλίστου προαστείου τῆς πόλεως. καὶ ἀεὶ ἐν αὐτῷ θάπτουσι τοὺς ἐκ τοῦ πολέμου, πλὴν γε τοὺς ἐν Μαραθῶνι, ἐκείνων δὲ διαφερόντως τὴν ἀρετὴν κείναντες, αὐτοῦ καὶ τὸν τάφον ἐποίησαν. ἐπειδὰν δὲ κρύψωσι γῆ, ἀνὴρ ἡρημένος ὑπὸ τῆς πόλεως, ὃς ἂν γνώμῃ τε δοκῇ μὴ ἀξυνέτως ἔχειν, καὶ ἀξιώματι προήκῃ, λέγει ἐπ' αὐτοῖς ἔπαινον τὸν πρέποντα. μετὰ δὲ τοῦτο, ἀπέρχονται. ὧδε μὲν θάπτουσι. καὶ διὰ παντὸς τοῦ πολέμου, ὁπότε ξυμβαίη αὐτοῖς, ἐχρῶντο τῷ νόμῳ. ὅτι δ' ἐν τοῖς πρώτοις

τοῖς

ΕΠΙΤΑΦΙΟΣ
ΛΟΓΟΣ
ΠΕΡΙΚΛΕΟΥΣ σὺ τῆς β'.

Συγγραφῆς τῆς τῦ Θυκυδίδυ

ΙΣΤΟΡΙΑΣ.

Ἐ'Ν δὲ τῷ αὐτῷ χειμῶνι, οἱ Ἀθηναῖοι τῷ πατρίῳ νόμῳ χρώμενοι, δημοσίᾳ ταφὰς ἐποιήσαντο τῶν ἐν τῷδε τῷ πολέμῳ πρῶτον ἀποθανόντων, τρόπῳ τοιῷδε. Τὰ μὲν ὀστᾶ προτίθενται τῇ ἀποχωμένῃ, σκηνὴν ποιήσαντες, ἐν ὑπφέρει τῷ αὐτῦ ἕκαστος ἤν τι βούληται. ἐπφδὰν δὲ ἡ ἐκφορὰ ᾖ, λάρνακας κυπαρισσίνας ἄγου-

πόλει, καὶ τοῖς ζῶσι ταῦτ' ἂν ἐνέγκοι πλείστων δόξαν. χαλεπὸν παῖδ' καὶ μητρὶ παίδων στερηθῆναι, καὶ ἐρήμοις εἶναι τῶν οἰκειοτάτων ἐπιτρόφων· σεμνὸν δέ γε ἀγήρως πρὸς καὶ μνήμων ἀρετῆς δημοσία κτῆσαι μνήμης ὀφθῆναι, καὶ θυσιῶν καὶ ἀγώνων ἠξιωμένους ἀθανάτων· λυπηρὸν παισὶν ὀρφανοῖς γενέσθαι πατρός· καλὸν δέ γε κληρονομεῖν πατρώας δόξης, καὶ τῷ μὲν λυπηρῷ τότε τὸν δαίμονα αἴτιον εὑρήσομεν ὄντα, ᾧ φυτὰς ἀνθρώπους εἶναι ἀνάγκη· τῷ δὲ τιμίῳ καὶ καλῷ τῶν ἐθελησάντων καλῶς ἀποθνήσκειν αἵρεσιν. ἐγὼ μὲν οὖν οὐχ ὅπως πολλὰ λέξω τοῦτ' ἐπεσκεψάμην, ἀλλ' ὅπως ταληθῆ· ὑμεῖς δὲ ἀποδυσάμενοι, καὶ τὰ προσήκοντα ὡς χρὴ· καὶ νόμιμα ποιήσαντες, ἄπτε.

ΕΠΙ-

πεπένθηκε δὲ ἡ τῆς οἰκουμένης τὸ πλεῖστον μέρος, πῶς ἂ χρὴ τούτους δαίμονας νομίζεσθαι; ἆς παρέδρους εἰκότως ἄν τις φήσαι τοῖς κάτω θεοῖς εἶναι, τιμὴν αὐτὴν τάξιν ἔχοντας τοῖς προτέροις ἀγαθοῖς ἀνδράσιν ἐν μακάρων νήσοις. ὃ γὰρ ἰδών τις ἐδάκρυσε περὶ ἐκείνων ταῦτ' ἀπήγγελκεν, ἀλλ' ἆς οἱ ζῶντες ἀξίως ὑπαφλήφαμεν τῇ ἄνω πομπῇ, τούτους τῇ δόξῃ καταμαντεύομενοι, κἀκεῖ τῶν αὐτῶν ἡγούμεθ' αὐτοὺς τυγχάνειν. ἔστι μὲν ἴσως χαλεπὸν, τὰς παρούσας συμφορὰς λόγῳ κωφίσαι· δεῖ δ' ὅμως πειρᾶσθαι, καὶ πρὸς τὰ παρηγορούντα βρέφειν τὴν ψυχήν, ὡς τοὺς τοιούτους ἄνδρας γεγονότας καὶ πεφυκότας αὐτοὺς ἐκ τοιούτων ἑτέρων, καλὸν ὅτι τὰ δεινὰ δυσχερεστέρων τῶν ἄλλων φέροντας ὁρᾶσθαι, καὶ πάσῃ τύχῃ χρωμένους ὁμοίους εἶναι. καὶ γὰρ ἐκείνοις, ταῦτ' ἂν εἴη μάλιστ' ἐν κόσμῳ καὶ τιμῇ, καὶ πάσῃ τῇ

πόλει,

νοὶ τοιούτων ἀνδρῶν ἐστερημένοι, & συνηθείας πολλῆς, καὶ φιλανθρώπως διεζευγμένοι, & τὰ τῆς παρούσης συμφορᾶς ἔρημα καὶ δακρύων καὶ πένθους πλήρη. οἱ δὲ δυσδαίμονες τῷ διηνεκεῖ λογισμῷ, ὃν τὸν μὲν ἀντὶ μικρᾶς χρόνου εἰς πολιὰν, καὶ τὸν ἄπαιδα ὄκλειαν ἀγήρων καταλείψουσιν, ἐν ᾗ & παῖδες οἱ τούτων ὀνομαστοὶ γραφήσονται, & γονεῖς οἱ τούτων ἀειβλεπτοι μεθεξοφήσονται, ὧν ἀψυχὶ τῷ πένθει τὴν τούτων ὄκλειαν ἔχοντες. ἔπειτα νόσων ἀπαθεῖς τὰ σώματα, καὶ λυπῶν ἄπειρους τὰς ψυχὰς, ἃς ὅτι τοῖς συμβεβηκόσιν οἱ ζῶντες ἔχουσιν, ἐν μεγάλῃ τιμῇ καὶ πολλῷ ζήλῳ τῶν νομιζομένων τυγχάνουσιν. ὃς γὰρ ἅπασα μὲν ἡ παρὶς θάπτει δημοσίᾳ, κοινὸν δ' ἐπαίνων μόνοι τυγχάνουσι· πρὸς δὲ μόνον οἱ συγγενεῖς καὶ πολῖται, ἀλλὰ καὶ πᾶσαν ὅσιόν Ἑλλάδα χρὴ προσφωνεῖν· συμ-

πε-

θεσπος λεγόμενος ὐκ ἄλλοθέν πο-
θεν, ἢ παρ' τὴν συνέσιν αὐτῦ προσομοιῶν
ἀνθρώπῳ, τὴν ἀληθῆ δὲ δράκοντα.
ἄξια δὴ τύτων προάπειν ὑπελάμβανον
αὐτοῖς προσήκειν. ἐμέμνηντο Ἰπποθοωντίδαι τῆς Ἀλώπης γάμων, ἐξ ὧν
Ἰπποθόων ἔφυ, καὶ τὸν ἀρχηγὸν ἥδεσαν, ὧν τὸ πρέπον φυλάττων ἐγὼ πρὸς
τὴν καιρὸν, τὸ σαφὲς εἰπεῖν ὑποβαίνω.
ἄξια δὴ τύτων ᾤοντο δεῖν προσήκειν
ποιοῦντες ὀφθῆναι. ὐκ ἐλάνθανον Αἰακίδας ὅτι τὴν ἀειδείων σεριθεὶς Αἴας,
ἀβίωτον ἑαυτῷ ἠρήσατο τὸν βίον. ἡνίκα
ἦν ὁ δαίμων ἄλλῳ παρίσεια ἐδίδου,
τότε τὸς ἐχθρὸς ἀμυνόμενοι, τεθνᾶναι
δεῖν ᾤοντο, ὥστε μηδὲν ἀνάξιον αὐτῶν
παθεῖν. ὐκ ἠμνημόνευν Ἀντιοχίδαι Ἡρακλέες ὄντα Ἀντίοχον. δεῖν ἦν ἡγήσαντο, ἢ ζῆν ἀξίως τῆς ὑπαρχόντων,
ἢ τεθνᾶναι καλῶς.

Οἱ μὲν ἦν ζῶντες οἰκεῖοι τύτων ἐλεύ-

νοι

τῆς χώρας. ὅτε δ' ἦν γυναῖκες ἐκεῖναι τοιαύτην ἔχον ἀνδρίαν. ὑ θεμιτὸν αὐτοῖς ὑπελάμβανον, χείρασιν ἀνδράσιν ἔδειν ἐκείνων φανῆναι. ἐμέμνηντο Ἀκαμαντίδων τῶν ἐπῶν ἐν οἷς Ὅμηρος ἔτεκε τῆς μήτρός φησιν* Φαίδρας* Αἴθρας, Ἀκάμαντα εἰς Τροίαν στεῖλαι. ὁ μὲν οὖν πάντως ἐπειρᾶτο κινδυνεύειν τῶν σώσαι τὴν ἑαυτῶν μητέρα ἕνεκα. οἱ δὲ τὰς οἰκείας σύμπαντας γονέας ἕνεκα τοῦ σῶσαι. πῶς ἂν οὐ μέλλων πάντα κίνδυνον ὑπομένειν. ἂν ἐλάνθανεν Οἰνείδας ὅτι Κάδμου μὲν Σεμέλη, τῆς δὲ ὑὸν ὄντα (ὃν οὐ πρέπον ἐστὶν ὀνομάζειν) ὅτι τοῦ δὲ τοῦ τάφου, τοῦ δὲ Οἰνέως γέγονεν ὃς ἀρχηγὸς αὐτῶν ἐκαλεῖτο. κοινοῦ δ' ὄντος ἀμφοτέραις ταῖς πόλεσι τοῦ παρόντος κινδύνου, ὑπὲρ ἀμφοτέρων ἅπασαν ᾠόντο δεῖν ἀγωνίαν ἐκτίναι. ἐδέσαν Κκεφαλίδαι τὸν ἑαυτῶν ἀρχηγὸν, τὰ μὲν ὡς ἔστι δράκων, τὰ δ' ὡς ἔστιν ἄν-

θρω-

ἀναλῶσαι. αἰσχρὸν ἦν ἡγεῖτο τὸν μὲν ἀπ' ἀθανάτων πεφυκότα πάντα ποιεῖν ἕνεκα τῆς τῶν παίδων ἐλευθερώσεως, αὐτοὶ δὲ φανῆναι θνητὸν σῶμα ποιούμενοι δεῖ πλέον, ἢ δόξαν ἀθάνατον. οὐκ ἠγνόουν Αἰγεῖδαι Θησέα τὸν Αἰγέως πρῶτον ἀποικίαν καταστησάμενον τῇ πόλει. δεινὸν ἦν ἡγοῦντο τῶν ἐκείνου προσῆναι προαιρέσιν· καὶ πεθνάναι μᾶλλον ἤρετο, ἢ καταλυομένης αὐτῆς καὶ τοῖς Ἕλλησι ζῆν φιλοψυχήσαντες. παρελήφεσαν Παιονίδαι Πρόκνην, καὶ Φιλομήλαν τὰς Παιόνων θυγατέρας ὡς ἐπιμωρήσαντο Τηρεῖ διὰ τὸν εἰς αὐτὰς ὕβριν. ἐβιώτων οὐκ ἐνόμιζον αὐτοῖς, εἰ μὴ συγγνώμης ὄντες θυμὸν ἔχοντες ὅμοιον ἐκείναις φανήσονται, ἐφ' οἷς τὸν Ἑλλάδα ἑώρων ὑβριζομένην. ἠκηκόεσαν Λεοντίδας μυθολογουμένας τὰς Λεωκόρας, ὡς αὐτὰς ἔδοσαν σφάγιον τοῖς πολίταις ὑπὲρ

τῆς

δηλῶν. ὅτε γὰρ πάντας ἐξαρέσασθαι τοῖς αἰσχρόν τι ποιήσασι δυνατὸν, ὅτε ὁ μόνος ταληθὲς ὀνειδος λέγων λυπεῖ. καὶ γὰρ οἱ μηδὲν ἂν εἰπόντες αὐτοὶ βλάσφημον, ἄλλο γε λέγοντος χαίρουσιν ἀκούοντες. ἃ φοβούμενοι πάντες, εἰκότως τὴν τῆς μιᾶς ταῦτα ὀνειδῶν αἰσχύνην, τὸν τε θεσπόντα ἀπὸ τῆς ἐναντίων κίνδυνων ἀσφάλειαν ὑπέμειναν, καὶ θάνατον καλὸν εἵλοντο μᾶλλον, ἢ βίον αἰσχρόν. ἃ μὲν ἦν κοινῇ πᾶσιν ὑπῆρχε τοῖς δὲ τοῖς ἀνδράσιν εἰς τὸ καλῶς ἐθέλειν ἀποθνήσκειν εἴρηται· γῆ, παιδεία, χρημάτων δόσις δημοσίων συνήθεια, τῆς ὅλης πολιτείας ὑπόθεσις. ἃ δὲ κατὰ φυλὰς παρεκάλεσεν ἑκάστους ἀσφάλειαν εἶναι, ταῦτ' ἤδη λέξω, ἣ δέσαν ἅπαντες Ἐρεχθεῖδαι τὰν ἐπώνυμον αὐτῶν Ἐρεχθέα ἕνεκα τᾶς σώσας τὰν χώραν, τὰς αὐτὰς παῖδας ἃς Γαργηττίδας καλοῦσιν, εἰς πρᾶτον θάνατον δόντα

ἀνα-

ἐκ τῆ καθεστηκότος κόσμυ τὸ φῶς ἐξέλοιπο, δυχερὴς καὶ χαλεπὸς ἅπας ὁ λειπόμβω ἡμῖν βίος γένοιτ' ἄν· ὅτε πόνδε ἀνδρῶν ἀναιρεθέντων, ἐν σκότει, καὶ πολλῇ δυσκλείᾳ πᾶς ὁ μετὰ τὸ ζῆλος τῆ Ἑλλήνων γέγονε. δι' πολλὰ δ' εἰκότως ὄντες τοιῦτοι, διὰ τὴν πολιτείαν ἐκ ἤκιστα ἦσαν αὐθάδαιοι. αἱ μὲν γὰ διὰ τῆ ὀλίγων δυναστεῖαι· δῆμος μὲν ἐνεργάζονται τοῖς πολίταις, αἰχύνην δ' ἐ φέρεσθαι. ἡνίκα γᾶν ὁ ἀγὼν ἔλθῃ τῆ πολέμυ, πᾶς τις ἀνὴρ ἑαυτὸν σώζῃ· σωτηρίως ὅτι ἐὰν τὰς κυρίας, ἢ δώροις, ἢ δι' ἄλλης ἡσυχοσῦν ὁμιλίας ἐξαρέσηται, κἂν τὰ δεινότατα ἀχθομονήσῃ, μικρὸν ὄνειδος τὸ λοιπὸν αὐτῷ καταστήσεται. αἱ δὲ δημοκρατίαι πολλά τε ἄλλα καὶ καλὰ καὶ δίκαια ἔχουσιν, ὧν τὸν ἀφεγνῶντα ἀντέχεσθαι δεῖ· καὶ τὴν παῤῥησίαν ἐκ τῆς ἀληθείας ἠρτημένην ἐκ ἔστιν ἀποστρέψαι τὰληθές.

πολλοῖς ἔθ' ὑμῖν, ἔτ' ἐκείνων ἐγκαλέσειεν ἄν τις εἰκότως. οἱ δυνάμιν λαβόντες ἔχθραν θυμὸν ἀήττητον καὶ ἀφοφάσεισον, καὶ φιλοτιμίαν ἐφάμιλλον, ἐδ' ἐπὶ τούτων ἐκ ὀρθῶς ἐχρήσαντο. καὶ τὰ μὲν ἀλλ' ὅτι τούτων ὡς ἔκαστον ἔχει γνώμης, ἔστως ὑπολαμβάνειν. ὅ δὲ ἅπασιν ὁμοίως ἀνθρώποις τοῖς ἔσι γεγύηται, φανερὸν ὅτι ἡ πάσης τῆς Ἑλλάδος ἄρα ἐλευθερία ἐν ταῖς τῶν δὲ τῶν ἀνδρῶν ψυχαῖς διεσώζετο. ἐπειδὴ γὰρ ἡ πεπρωμένη τούτους ἀνεῖλεν, ἐδεὶς ἀντέστη τῶν λοιπῶν. καὶ φθόνος μὲν ἀπεῖη τῷ λόγῳ· δοκεῖ δέ μοι τις ἂν εἰπὼν ὡς ἡ τῶν δὲ τῶν ἀνδρῶν ἀρετὴ τῆς Ἑλλάδος ἦν ψυχή, τἀληθὲς εἰπών. ἅμα γὰρ τότε τούτων πνεύματα ἀπηλλάγη τῶν οἰκείων σωμάτων, καὶ τὸ τῆς Ἑλλάδος ἀξίωμα ἀνήρηται. μεγάλλειν μὲν ἴσως ὑπερβολὴ δόξομεν λέγειν· ἰστέον δ' ὅμως. ὥσπερ γὰρ εἴτις

ἐκ

τὴν ἐναντίων κύριον φίλον ἡγεῖσθαι τοῖς ἐκείνων οἰκείοις βέλεσι μᾶλλον, ἢ πάλιν τὸν ὑπὲρ τῶν ὅλων κίνδυνον ἀρασθαι. οἶμαι δ' ἂν εἴτις αὐτὸς τὰς ψυχὰς ἀξιαμένους ἐρωτήσειε πότερ' ἡγοῦνται ταῖς αὐτῶν ἀρεταῖς, ἢ τῇ ψευδοδόξῳ καὶ χαλεπῇ τύχῃ κατωρθωκέναι, καὶ τῇ τῶν προεσηκότων αὐτῶν ἐμπειρίᾳ, καὶ τόλμῃ, καὶ ψυχῇ, ἣ δένα ἔτ' ἀναίσχυντον, ἔτε θαλμηρὸν ἔτως εἶναι. ὃν τιν' ἀντιποίησεσθαι τῶν πεπραγμένων. ἀλλὰ μὴν ὑπὲρ ὧν ὁ πάντων κύριος δαίμων ὡς ἠβούλετο, ἔνεμε τὸ τέλος, πάντας ἀφειδῶς κακίας ἀνάγκη τοὺς λοιποὺς ἀνθρώπους γε ὄντας· περὶ ὧν δ' ὁ τῶν ἐναντίων ἡγεμὼν ὑπῆρξε τοὺς ὅπη τούτῳ ταχθέντας ἐχὶ τοὺς πολλοὺς, ἔτ' ἐκείνων, ἔθ' ἡμῶν αἰτιάσαιτ' ἄν τις εἰκότως. εἰ δ' ἄρα ἔστι τις ἀνθρώπων ὅτῳ περὶ τούτων ἐγκαλέσαι προσήκει τοῖς ὅπη τούτῳ ταχθεῖσι θηβαίων, ἐχὶ τοῖς

μὲν γὰρ κρατεῖν ἐν τοῖς ζῶσιν, ὡς ἂν
ὁ δαίμων παραδῶ, κεῖνται. ὃ δ' εἰς
τοῦτο ἕκαστον ἔδει παραχέαι, πᾶς ὁ μέ-
νων ἐν τάξει πεποίηκεν. εἰ δὲ θνητὸς
ὢν τῷ εἱμαρμένῳ ἔχε τὴν τύχην· πέ-
πονθε τὸ συμβαῖνον, οὐχὶ τῷ ψυχῷ
ἥπται τῆς ἐναντίων. νομίζω τοίνυν ἐγ
τοῦ τῆς χώρας ἡμᾶς μὴ ὀκνῶαι τοὺς
πολεμίους, πρὸς τὴν τῶν ἐναντίων ἀγνω-
μοσύνην, τῷ τούτων ἀρετὴν αἰτίαν γε-
νῆσθαι. κατ' ἄνδρα γὰρ πεῖραν εἰλη-
φότες οἱ τότε συμμίξαντες ἐκεῖ, οὐκ
ἐβούλοντο αὖθις εἰς ἀγῶνα καθίσαθαι
τοῖς ἐκείνων οἰκείοις· ὑπολαμβάνοντες
ταῖς μὲν φύσεσι ταῖς ὁμοίαις ἀνταγω-
νίσεσθαι, τύχῃ δὲ οὐκ ἄνευ ἐν τῷ
ὁμοίαν λαβεῖν· δηλοῖ δὲ οὐχ ἥκιστα ὅτι
ταῦτα οὕτως ἔχει, ἐγ τὰ τῆς γενομένης
εἰρήνης. οὐ γὰρ ἔνεστ' εἰπεῖν ὅτ' ἀληθεστέ-
ραν, ὅτε καλλίω πρόφασιν τοῦ τῆς τῶν
πελοποννησίων ἀγαθέντα ἀρετῆς τὸν

τῷ

οἶδε πολὺ διαφέρουσαν. καὶ γὰρ εἴ τις ἔφυε κοινὸς πᾶσι κίνδυνος τοῖς Ἕλλησιν, ἦτοι θεῶν προέδοντος, καὶ πολλάκις εἰς σωτηρίαν ἅπασιν παρεκάλεσαν. ὅπερ γνώμης ἀποδείξις ἐστὶν ἀμφοτέρας, καὶ τῆς μὲν τοῖς Ἕλλησιν ἀγνοίας μεμιγμένης κακίᾳ, ὅτι ἑκὼν, ταῦτα κωλύειν ἀσφαλῶς, τὰ μὲν προορῶσης, τὰ δ' εἰφορωμένης. ὅμως ἡνίκ' ὑπήκουσαν, καὶ τὰ δέοντα ποιεῖν ἠθέλησαν, οὐκ ἐμνησικάκησαν. ἀλλὰ προσάντες καὶ παραχόντες ἅπαντα προθύμως, καὶ σώματα, καὶ χρήματα, καὶ συμμάχους εἰς πεῖραν ἦλθον ἀγῶνος, εἰς ὃν ἐκ τῆς ψυχῆς ἐφείσαντο. ἐξ ἀνάγκης δὲ συμβαίνει ὅταν μάχη γίγνηται, τοῖς μὲν ἡττᾶσθαι, τοῖς δὲ νικᾶν. οὐκ ἂν ὀκνήσαιμι δ' εἰπεῖν ὅτι μοι δοκοῦσιν οἱ πελάσαντες ἑκατέρων ἐν τάξει, τῆς μὲν ἥττης ἐκ μετέχειν, νικᾶν δὲ ὁμοίως ἀμφότεροι. τὰ

προϊσάμωκα γάρ μοι πάντα εἰς ἕνα καιρὸν δύσκριτον καθίστασί μοι τὴν αἵρεσιν αὐτῶν. ἐγὼ μὲν οὖν ἀλλὰ πειράσομαι τὴν αὐτὴν ποιήσασθαι τῷ λόγῳ τάξιν, ἥπερ ὑπῆρξε τῷ βίῳ τούτοις. οἶδε γὰρ ἐξ ἀρχῆς ἐν πᾶσι τοῖς παιδάριοις ἦσαν ἐπιφανεῖς, τὰ πρέποντα καθ' ἡλικίαν ἀσκοῦντες ἑκάστην, καὶ πᾶσιν ἀρέσκοντες οἷς χρὴ, γονεῦσι, φίλοις, οἰκέταις. τοιγαροῦν ὥσπερ ἴχνη γνωρίζεσθαι ποιεῖ ἡ τῶν οἰκείων ἀγωγὴ καὶ φίλων μνήμη, πᾶσαν ὥραν ὅτι τούτοις φέρεται τὸ πόθῳ, πολλὰ ὑπομνήματα λαμβάνουσα ἐν οἷς σωφρονεῖ τούτοις ἀεί σοις ἔσιν· ἐπειδὴ δὲ εἰς ἄνδρας ἀφίκοντο, οὐ μόνον τοῖς πολίταις γνώριμον τὴν αὐτῶν φύσιν, ἀλλὰ καὶ πᾶσιν ἀνθρώποις κατέστησαν. Ἔστι γὰρ ἔσιν ἁπάσης ἀρετῆς ἀρχὴ μὲν σώφρων, πέρας δὲ ἀνδρία, καὶ τῇ μὲν δοκιμάζεται, τί φευκτέον ἐστί· τῇ δὲ σώζεται. ἐν τούτοις ἀμφοτέροις,

οἷς δὲ

τάφον, ὅσῳ περ ἂν προθυμότερον καὶ ἀφειδέστερον τοῦτο παρεσκευασάμην, τοσούτῳ μᾶλλον ἂν προσήκοντα ἔδοξα πεποιηκέναι· λόγῳ δ' ἐπαινέσαι τοὺς δὲ τοὺς ἄνδρας αἱρεθεὶς, ἐὰν μὴ τοὺς ἀκούοντας συμβουλομένους λάβω, φοβοῦμαι μὴ τῇ προθυμίᾳ τἀναντίον ἕ δεῖ ποιήσω. ὁ μὲν γὰρ πλοῦτος καὶ τὸ τάχος καὶ ἡ ἰσχὺς καὶ ὅσα ἄλλα τούτοις ὅμοια, αὐτάρκης ἔχει τὰς ὀνήσεις τοῖς κεκτημένοις, καὶ κρατοῦσιν ἐν αὐτοῖς, οἷς ἂν παρῇ, κἂν μισεῖς τὴν ἄλλων βούληται, ἡ δὲ τὴν λόγων πειθὼ τῆς τῶν ἀκουόντων εὐνοίας προσδεῖται. καὶ μὴν μὲν ταύτης κἂν μετρίως ῥηθῇ δόξαν ἤνεγκε, καὶ χάριν προσποιεῖ· ἄνευ δὲ ταύτης, κἂν ὑπερβάλῃ τὴν λέξιν καλῶς, προσέστι τοῖς ἀκούσι. πολλὰ τοίνυν ἔχων εἰπεῖν ὧν οἶδε προύξαντες, δικαίως ἐπαινεθήσονται, ἐπειδὴ πρὸς αὐτοῖς εἰμὶ τοῖς ἔργοις, ἀπορῶ τί πρῶτον εἴπω.

ἁπάντων ἀμηχανώτατος ἰδεῖν ὅ, τι χρὴ λέγειν ποιοῦντας, ἢ ἐκείνων ἀρετὴ πολλὰ καλὰ διδοῦσιν εἰπεῖν καὶ προχείρα, ἃ ῥᾴδιον μὲν ὅσα διελθεῖν. ἀλλὰ προαιρεῦμαι τῆς δυσχερείας, καὶ τὴν πρὸς τοῖς προγόνοις μεγίστων μηνυτὰς ὡς τάχιστα συμπάψαι τὸν λόγον πρὸς τὰ τοῖσδε πεπραγμένα. ἵν' ὥσπερ τοῖς φύσει ἦσαν εὐγνῶμες, οὕτω τοῖς ἐπαίνοις ἐπ' αὐτῶν κοινοὺς ποιήσωμαι. ὑπολαμβάνων ταῦτ' ἂν εἶναι κεχαρισμένα κἀκείνοις, καὶ μᾶλλον ἀμφοτέροις, εἰ τῆς ἀλλήλων ἀρετῆς μὴ μόνον τῇ φύσει μετάσχοιεν, ἀλλὰ καὶ τοῖς ἐπαίνοις. ἀνάγκη δ' ἐν τῷ μεταξὺ διαλαβεῖν, καὶ περὶ τῶν τὰ τοῖσδε πεπραγμένα τοῖς ἀνδράσι δηλῶν, καὶ τοὺς ἔξω τῶν γνώμης πρὸς τὸν τάφον ἠκολουθηκότας πρὸς εὔνοιαν παρακαλέσαι. καὶ γὰρ εἰ μὲν εἰς χρημάτων δαπάνην, ἢ πνα ἄλλην θρωπείαν ἐπαινῶν, ἢ γυμνικῶν ἄθλων ἐτάχθην κοσμῆσαι τὸν

τά-

πρότερον· δεῖ δὲ μηδὲ νῦν τῇ δικαίᾳ καὶ καλῶς ἔχοντι ἐπαίνου τὰς ἄνδρας ἐκείνους στερηθῆναι. Τοσοῦτον γὰρ ἀμείνους τῆς ὅπλων Περσίαν στρατευσαμένων νομίζοιντ' ἂν εἰκότως, ὅσον οἱ μὲν ἐξ ἁπάσης τῆς Ἑλλάδος ὄντες ἀειστεῖς δέκ' ἔτη τῆς Ἀσίας ἓν χωρίον πολιορκοῦντες μόλις εἷλον· οὗτοι δὲ τὸν ἐκ πάσης τῆς Ἠπείρου στόλον ἐλθόντα μόνοι τἆλλα πάντα καταστραμμένον, οὐ μόνον ἠμύναντο, ἀλλὰ καὶ πρωείαν ἀφ' ὧν τοὺς ἄλλους ἠδίκουν, ἐπέθηκαν. ἔτι τοίνυν τὰς ἐν αὐτοῖς τοῖς Ἕλλησι πλεονεξίας κωλύοντες, πάντας ὅσους συνέβη γίγνεσθαι κινδύνους ὑπέμειναν· ὅπου τὸ δίκαιον εἴη ταταγμένον, ἐνταῦθα προστιθέμενοι ἑαυτούς, ἕως εἰς τὸν νῦν ζῶσαν ἡλικίαν ὁ χρόνος προήγαγεν ἡμᾶς. μηδεὶς δὲ ἡγείσθω με ἀπορεῖν τα, ὅτι χρὴ πρῶτον εἰπεῖν ἐκάστου, ταῦτα τὰ προαιρεθέντα ἀπομνημονεύειν. εἰ γὰρ

καλοῖς ἔργοις, τὰ τῶν καθοιχομένων νόμιμα καὶ ἀρχαῖα ὑβρυζόμενα. ὅτε τὰς ἐπὶ ὅπλα Θήβας ἀπιέναι κωλύει, Κρέων. τῷ μὲν ἓν εἰς μύθους ἀνηνεγμένων ἔργων, πολλὰ παραλιπὼν τούτων ἐπεμνήσθην, ὧν ἕκαστον διεξήμενος, καὶ πολλὰς ἔχει λόγους, ὥστε καὶ τοὺς ἐμμέτρους, καὶ τοὺς τῷ ἀληθείᾳ ποιητὰς, καὶ πολλοὺς τῷ συγγραφέως ὑποθέσθαι τὰ ἐκείνων ἔργα τῆς αὐτῶν Μουσικῆς πεποιῆσθαι. ἀλλ' ἐγὼ τῇ μὲν ἀξίᾳ τῶν ἔργων οὐδὲν ἴσως τούτων ἐλάττω, τῷ δ' ὑπερφυώτερα εἶναι τοῖς χρόνοις ἔτι μεμυθολόγηται, οὐδ' εἰς τὴν ἡμετέραν ἐπανῆκται τάξιν, ταῦτ' ἤδη λέξω. ἐκεῖνοι τὸν ἐξ ἁπάσης τῆς Ἀσίας ὄλβον ἐλθόντα, μόνοι δὶς ἠμύναντο, καὶ κατὰ γῆν, καὶ κατὰ θάλατταν· καὶ δι' ἀρετὴν ἰδίων κινδυνεύων κοινῆς σωτηρίας πᾶσι τοῖς Ἕλλησιν αἴτιοι κατέστησαν. καὶ προφέρεται μὲν ὃ μέλλω λέγειν ὑπ' ἄλλων πρό-

παρόντα χρόνον χλιεᾶς προγόνοι & πατέρες, & τούτων ἐπάνω τὰς προσηγορείας ἔχοντες, αἷς ὑπὸ τῶν ἐν χλιᾷ γνωρίζονται, ἠδίκησαν μὲν οὐδένα πώποτε οὔτε Ἕλλωα, οὔτε βάρβαρον· ἀλλ' ὑπῆρχεν αὐτοῖς πρὸς ἅπασι τοῖς ἄλλοις καλοῖς καὶ ἀγαθοῖς, καὶ δικαιοτάτοις εἶναι· ἀμυνόμενοι δὲ, πολλὰ & λαμπρὰ διεπράξαντο. & γὰρ τὸν Ἀμαζόνων στρατὸν ἐλθόντα ἐκράτησαν ἔτως, ὥς' ἔξω Φασιδος ἐκβαλεῖν. & τὸν Εὐρύλωσ & τὸν ἄλλον πολλῶν στολον οὐ μόνον ἐκ τῆς οἰκείας, ἀλλὰ & ἐκ τῆς τῶν ἄλλων Ἑλλήνων χώρας ἐξήλασαν· ὧς οἱ πρὸ ἡμῶν οἰκοῦντες πρὸς ἑσπέραν πάντες οὐδ' ὑπέμειναν, ὅτ' ἠδυνήθησαν κωλύσαι. καὶ μὴν καὶ τὸν Ἡρακλέους παῖδων, ὃς τοὺς ἄλλους ἔσωζε, σωτῆρες ὠνομάθησαν, ἡνίκα ἦλθον εἰς τήνδε τὴν γῆν ἱκέται, φεύγοντες Εὐρυσθέα, & πρὸς πᾶσι τούτοις, καὶ πολλοῖς ἄλλοις, καὶ

τούτους δὲ γνησίους γόνῳ τῆς παρ' ἡμῶν πολίτας εἶναι. δοκεῖ δέ μοι καὶ τὸ τοὺς κυρίους, οἷς ζῶσιν ἄνθρωποι, παρ' ἡμῖν τοῖς φανεῖσαι, χωρὶς τοῦ μέγιστον ἀνεργέτημα εἰς πάντας γεγενῆσθαι ὁμολογούμενον σημεῖον ὑπάρχειν τῆς μητέρα τὴν χώραν εἶναι τῶν ἡμετέρων προγόνων. πάντα γὰρ τὰ τίκτοντα ἅμα καὶ τροφὴν τοῖς γιγνομένοις, ἀπ' αὐτῆς τῆς φύσεως φέρει. ὅπερ ἥδε ἡ χώρα πεποίηκε. τὰ μὲν ἓν εἰς γένος ἀνήκοντα. τοιαῦτα δ' αἰῶνος ὑπάρχει τοῖς δὲ τῶν ἀνδρῶν προγόνοις. τὰ δ' εἰς ἀνδρίαν, καὶ τὴν ἄλλην ἀρετήν, πάντα μὲν καλὰ λέγειν Φυλατόμου, μὴ μῆκος ἄκαιρον ἐγκεῖσθαι τῷ λόγῳ, ἃ δὲ καὶ τοῖς εἰδόσι χρήσιμα ἀναμνησθῆναι, καὶ τοῖς ἀπείροις κάλλιστα ἀκοῦσαι, καὶ ζῆλον ἔχειν πολλὴν, καὶ μῆκος λόγων ἄλυτον ἔχοντα, ταῦτα ὅτι κεφαλαίων εἰπεῖν προαίρεσομαι. οἱ γὰρ τῆς χώρας τὸν

πα-

σας, ἀπηλλαττόμην τὸν λόγον, ἐπεὶ δὲ καὶ γεγυμνάσθαι καλῶς, καὶ πεπαιδεῦσθαι σωφρόνως, καὶ βεβιωκέναι φιλοτίμως συμβέβηκεν αὐτοῖς, ἐξ ὧν εἰκότως ἦσαν ἀνδραγάθοι, αἰσχυνοίμην ἄν, εἰ τούτων φανείην ἀπολιπών. ἄρξομαι δ' ἀπὸ τῆς τοῦ γένους αὐτῶν ἀρχῆς, ἡ γὰρ εὐγένεια τὸν μὲν τῶν ἀνδρῶν ἐκ πλείστου χρόνου πᾶσιν ἀνθρώποις ὁμολόγηται. ἐγὼ γὰρ μόνον εἰς πατέρ' αὐτοῖς, καὶ τὸν ἄνω προγόνων κατ' ἄνδρα ἀναγκαῖον ἑκάστῳ τὴν φύσιν ὄζειν· ἀλλ' εἰς ὅλην κοινὴν τὴν ὑπάρχουσαν παιδείαν, ἣν αὐτόχθονες ὁμολογοῦνται εἶναι. μόνοι γὰρ πάντων ἀνθρώπων ἐξ ἧς περ ἔφυσαν, ταύτην ὤκησαν, καὶ τοῖς ἐξ αὐτῶν παρέδωκαν. ὥστε δικαίως ἄν τις ὑπολάβοι, τοὺς μὲν εἰς τὰς ἑωθινὰς ἐλθόντας πόλεις, καὶ τούτων πολίτας προσαγορευομένους, ὁμοίους εἶναι τοῖς εἰσποιητοῖς τῶν παίδων·

τού-

ἰδεῖν ἀτυχοῦσαν· πῶς οὐκ ἀνυπέρβλητον παντὶ λόγῳ τὴν αὐτῶν ἀρετὴν καταλελοίπασιν; ὁμοίως μέν τοι δυσαλεχθῆναι τοῖς πρότερόν ποτε εἰρηκόσιν ἐνθάδε καλὸν εἶναί μοι δοκεῖ. ὡς μὲν γὰρ ἡ πόλις ἀπεδάζει πρὸς τοὺς ἐν τῷ πολέμῳ τελευτῶντας, ἔκ τε τῶν ἄλλων ἔστιν ἰδεῖν, καὶ μάλιστα ἐκ τοῦδε τοῦ νόμου, καθ' ὃν αἱρεῖται τὸν ἐρροῦντα ὑπὲρ τοῖς δημοσίαις ταφαῖς. εἰδυῖα γὰρ πρὸς τοῖς χρησοῖς ἀνδράσι τὰς μὲν τῶν χρημάτων κτήσεις, καὶ τὸν βίον ἡδονῶν ἀπολαύσεις ὑπερεωραμμένας, τῆς δ' ἀρετῆς καὶ τῶν ἐπαίνων πᾶσαν τὴν ὑπεροψίαν ἔσαν. ἐξ ὧν ταῦτ' ἂν αὐτοῖς μάλιστα γένοιτο λόγων, τούτοις ὠφεῖλησαν δεῖν αὐτοῖς πρᾶξαι. ἵν' οἷς ζῶντες ἐκτήσαντο δόξαν, αὐτὴ καὶ τετελευτηκόσιν αὐτοῖς ἀποδοθείη. εἰ μὲν γὰρ τὴν ἀνδρείαν μόνον αὐτοῖς, τὴν εἰς ἀρετὴν ἀνηκόντων· ὑπῆρχεν ἔργον, ταύτῃ ἂν ἐπαινέσας,

σας,

ΔΗΜΟΣΘΕΝΟΥΣ

ΛΟΓΟΣ

ΕΠΙΤΑΦΙΟΣ.

Ἐπειδὴ τοὺς ἐν τῷ πολέμῳ τελευτήσαντας ἐκήδευσε, καὶ τὰ ὀστᾶ ἀνεῖλε, καὶ ἐν τοῖς κοινοῖς μνήμασι τῆς πόλεως ἔθαψε, καὶ τὰ ἐπιτήδεια τοῖς ἀναγκαίοις ἐπέστειλε, καὶ τὰ ἐπιβάλλοντα τοῖς ἀπολειφθεῖσιν ἐπέταξε, καὶ τὰ ἐπιτάφια τοῖς ἀγαθοῖς ἐποίησε, καὶ τὰς τιμὰς τοῖς ἀνδράσιν ἀπέδωκε, καὶ τὰς ἐλπίδας τοῖς ἀνθρώποις ἐνεποίησε, καὶ τὸν ἀγῶνα τῆς ἀρετῆς ἐνέστησε, καὶ τὸν ἔπαινον τῶν ἀγαθῶν ἐπέδειξε, καὶ τὸν φθόνον τῶν κακῶν ἐπέσχε, καὶ τὸν ἔλεγχον τῶν ἀδικούντων ἐποιήσατο, καὶ τὴν ἀνδρείαν τῶν πολεμίων ἐκόλασε, καὶ τὴν ἀρετὴν τῶν πολιτῶν ἐστεφάνωσε, καὶ τὴν ἐλευθερίαν τῆς πόλεως ἐφύλαξε, καὶ τὴν δημοκρατίαν τῶν πολιτῶν ἐβεβαίωσε, καὶ τὴν εὐνομίαν τῆς πόλεως ἐκόσμησε, καὶ τὴν εὐδαιμονίαν τῶν πολιτῶν ἐποίησε, καὶ τὴν εὐτυχίαν τῆς πόλεως ἐφύλαξε, καὶ τὴν εὐδοξίαν τῶν πολιτῶν ἐβεβαίωσε, καὶ τὴν εὐκλείαν τῆς πόλεως ἐκόσμησε, καὶ τὴν εὐτυχίαν τῶν πολιτῶν ἐποίησε, καὶ τὴν εὐδοξίαν τῆς πόλεως ἐφύλαξε, καὶ τὴν εὐκλείαν τῶν πολιτῶν ἐβεβαίωσε, καὶ τὴν εὐτυχίαν τῆς πόλεως ἐκόσμησε, καὶ τὴν εὐδοξίαν τῶν πολιτῶν ἐποίησε, καὶ τὴν εὐκλείαν τῆς πόλεως ἐφύλαξε, καὶ τὴν εὐτυχίαν τῶν πολιτῶν ἐβεβαίωσε, καὶ τὴν εὐδοξίαν τῆς πόλεως ἐκόσμησε, καὶ τὴν εὐκλεί

ἐκ ταύτης τῆς ὀλιγωρίας τὰς τῆς φύσεως ἁμαρτίας ἐπικρατήσειεν.

ΔΗ-

Digitized by Google

νοίας, ἡγοῦμαι κἀκεῖνος ὅτι τοῖς οἰκειοτάτοις μάλιστα δηλῶσαι, πῶς ἔχουσι πρὸς τὰς φαύλους, καὶ τὰς σπουδαίους τῶν ἀνθρώπων. Ζεὺς γὰρ Ἡρακλέα καὶ Τάνταλον ζηλώσας, ὡς οἱ μῦθοι λέγουσι, καὶ πάντες ποιοῦσι, τὸν μὲν διὰ τὴν ἀρετὴν ἀθάνατον ἐποίησε, τὸν δὲ διὰ τὴν κακίαν, ταῖς μεγίστης τιμωρίαις ἐκόλασεν· οἷς χρὴ παραδείγμασι χρωμένους ὀρέγεσθαι τῆς καλοκἀγαθίας, καὶ μὴ μόνον τοῖς ὑφ' ἡμῶν εἰρημένοις ἐμμένειν, ἀλλὰ καὶ τῶν ποιητῶν τὰ βέλτιστα μανθάνειν, καὶ τῶν ἄλλων σοφιστῶν, εἴ τι χρήσιμον εἰρήκασιν, ἀναγιγνώσκειν. ὥσπερ γὰρ τὴν μέλιτταν ὀρθῶς ἐφ' ἅπαντα μὲν τὰ βλαστήματα καθίζάνουσαν, ἀφ' ἑκάστου δὲ τὰ χρήσιμα λαμβάνουσαν· οὕτω χρὴ καὶ τοὺς παιδείας ὀρεγομένους, μηδενὸς μὲν ἀπείρους ἔχειν, παντα χόθεν δὲ τὰ χρήσιμα συλλέγειν. μόλις γὰρ ἄν τις

ἐκ

τὴν ἐπαινόντων ἕνεκα διαπονῶμεν. ἐνθυμῶ δὲ διότι τοῖς μὲν φαύλοις ἐνδέχεται τὰ τυχόντα πρέπειν. οἱ γὰρ τὸν βίον τοιαύτην πεποίηνται τὴν ὑπόθεσιν, τοῖς δὲ σπουδαίοις οὐχ οἷόν τε τῆς ἀρετῆς ἀμελεῖν, ἢ πολλοὺς ἔχειν τοὺς ὀνειδίζοντας. πάντες γὰρ μισοῦσιν οὐχ ὅτι τοὺς ὑπερβαλλούσας, ὡς τοὺς ὑπεικεῖς μὲν φάσκοντας εἶναι, μηδὲν δὲ τῶν τυχόντων διαφέροντας· εἰκότως· ὅτου γὰρ τοὺς τῷ λόγῳ μόνῳ φιλονεικοῦντας ἀποδοκιμάζομεν, πῶς τοὺς τῷ βίῳ παντὶ ἐλαττουμένους οὐ φαύλους εἶναι φήσομεν; δικαίως δ' ἂν τοὺς τοιούτους ὑπολάβοιμεν, μὴ μόνον εἰς ἑαυτοὺς ἁμαρτάνειν, ἀλλὰ καὶ τῆς τύχης εἶναι φειδόμενοι· ἣ μὲν γὰρ αὐτοῖς χρήματα, καὶ δόξαν, καὶ φίλους ἐνεχείρισεν, οἱ δὲ σφᾶς αὐτοὺς ἀναξίους τῆς ὑπαρχούσης εὐδαιμονίας κατέστησαν. εἰ δὲ δεῖ θνητὸν ὄντα τῆς τῶν θεῶν στερίσκεσθαι διανοίας,

παιδείαν φιλοπονίαν. τὸν γὰρ ἀυτῷ τὰ βέλτιστα πεφάτειν ὀπιτάττοντα, τῶν εἰκὸς καὶ τῷ ἄλλων τὰς ὅπι τιμὰ ἀρετιμὰ πλάνακαλεῦντας ἀποδέχεσθαι. μάλιστα δ' ἂν παροξυνθείης ὀρεχθεῖναι τῷ καλῶν ἔργων, εἰ καταμάθοις ὅτι καὶ τὰς ἡδονάς, τὰς ἐκ τούτων, μάλιστα γνησίως ἔχομεν. ἐν μὲν γὰρ τῷ ῥαθυμεῖν, καὶ τὰς πλησμονὰς ἀγαπᾶν, ἀνθρώπους αἱ λύπαι ταῖς ἡδοναῖς πλάναπεπήγασι. τὸ δὲ περὶ τιμὰ ἀρετὴν φιλοπονεῖν, καὶ σοφρόνως τὸν ἑαυτὸν βίον οἰκονομεῖν, ἀεὶ τὰς τέρψεις εἰλικρινεῖς, καὶ βεβαιοτέρας ἀποδίδωσι, κἀκεῖ μὲν πρόσθεν ἡδέντες, ὕστερον ἐλυπήθημεν· ἐνταῦθα δὲ μὴ τὰς λύπας τὰς ἡδονὰς ἔχομεν. ἐν ἅπασι δὲ τοῖς ἔργοις, οὐχ ὅτε τῆς ἀρχῆς μνημονεύομεν, ὡς τῆς τελευτῆς αἰσθησιν λαμβάνομεν. τὰ γὰρ πλεῖστα τῷ περὶ τὸν βίον, οὐ δι' ἀυτὰ τὰ πράγματα ποιοῦμεν, ἀλλὰ

τῷ

ὐδὲ γὸ ἐμὲ τῦ͂το διέλαθεν· ἀλλὰ φοφ-
λόμιω διὰ τῆς αὐτῆς φραγματείας
ἅμα τὲ τε παόντος βίυ συμβυλίαν
ὀξενεγκεῖν, καὶ τὲ μέλλοντος χρόνυ
φοδόγιελμα καταλιπεῖν. τὶω μὸ γὸ
τύπων χρείαν ῥαδίως εἰδήσεις, τὸν δὲ
συμβυλδύοντα μετ' ὀὐνοίας χαλεπῶς
ἀὐρήσεις. ὅπως ἓν τὰ λοιπὰ μὴ παρ'
ἑτέρυ ζητῆς, ἀλλ' ἐντὸῦθεν ὥσπερ ἐκ
ταμιέυ φοφέρης, ὠήθην δεῖν μηδὲν
φοδαλιπεῖν, ὧν ἂν ἔχω σοὶ συμβυ-
λδύειν. πολλὶω δ' ἂν τῷ θεῷ χάριν
ἐχοίμω, εἰ μὴ διαμάρτοιμι τῆς δόξης,
λὶω ἔχων φορὶ σὲ τυγχάνω. τὴν γὸ ἀλ-
λων τὲς πλείστες ἀὐρήσομεν, ὥσπερ τὴν
σιτίων τοῖς ἡδίστοις μᾶλλον, ἢ τοῖς ὑγιε-
νοτάτοις χαίροντας, ὅτω δὲ τὴν φίλων
τοῖς συνεξαμαρτάνυσι πλησιάζοντας,
ἀλλ' ὐ τοῖς νυθετῦσι. σὲ δὲ νομίζω
τἐναντίον τύτων ἐγνωκέναι, τεκμηρίω
χρώμενον τῇ περὶ τὶω ἄλλὶω σε

παι-

σιγᾶν, ἢ λέγειν. χαῖρε μὲν ὅτι τοῖς συμβαίνουσι τῶν ἀγαθῶν, καὶ λυποῦ μέτριως ὅτι τοῖς γιγνομένοις τῶν κακῶν. Γίγνε δὲ τοῖς ἄλλοις, ἐν μηδετέροις ὢν καταφανής. ἄτοπον γὰρ τιμῶν μὲν ὑσίαν ἐν ταῖς οἰκίαις ἀποκρύπτειν, τὴν δὲ δόξαν φανερὰν ἔχοντα φυλάττειν. μᾶλλον δὲ λαβοῦ φόβον, ἢ κίνδυνον. δεῖ γὰρ εἶναι φοβερὸν τοῖς μὲν φαύλοις τιμῶν τῷ βίῳ πλουτίων, τοῖς δὲ σπουδαίοις, τιμῶν ἐν τῇ ξηνῇ ἀδοξίαν. μάλιστα μὲν πρεπόντως ζῆν καὶ τιμῶν ἀσφάλειαν. ἐὰν δέ ποτέ σοι συμβῇ κινδυνεύειν, ζήτει τὴν ἐν τῷ πολέμῳ στατηρίαν μὴ καλῆς δόξης, ἀλλὰ μὴ μετ' αἰσχρᾶς φήμης. τὸ μὲν γὰρ τελευτῆσαι, πάντων ἡ πεπρωμένη κατέκρινε· τὸ δὲ καλῶς ἀποθανεῖν, ἴδιον τοῖς σπουδαίοις ἡ φύσις ἀπένειμε. καὶ μὴ θαυμάσῃς εἰ πολλὰ τῶν εἰρημένων ἐστὶ πρέπει σοι πρὸς τιμῶν νεωτέρῳ παρόντι ἡλικίαν.

ἔστὶ

λον ἀποδέχου τοὺς μὴ δικαιοσύνης ζημιωθέντας. οἱ γὰρ δίκαιοι τῶν ἀδίκων, ἃ μηδὲν ἄλλο πλεονεκτοῦσιν, ἀλλ' ὅν ἐλπίσι γε ἀγαθαῖαις ὑπερέχουσι. πάντων μὲν ὀλιγιστὰ τῶν εἰς τὸν βίον, μάλιστα δὲ τὴν σεαυτοῦ φρόνησιν ἄσκει. μέγιστον γὰρ ἐν ἐλαχίστῳ νοῦς ἀγαθὸς ἐν ἀνθρώπου σώματι. ὥσπερ τὸ μὲν σῶμα εἰς φιλόπονον, τὴν δὲ ψυχὴν φιλόσοφος. ἵνα τῷ μὲν ὀπιτελεῖν δυνῇ τὰ δόξαντα, τῇ δὲ θεωρᾷν ὀπίσῃ τὰ συμφέροντα. πᾶν ὅ,τι ἂν μέλλῃς λέγειν, πρότερον ὀπισκόπει τῇ γνώμῃ. πολλοὺς γὰρ ἡ γλῶττα προδέχεται τῆς διανοίας. νόμιζε μηδὲν εἰς τὸν ἀνθρώπινον βέβαιον. ὅτω γὰρ ὅτ' ἀτυχοῦν ἔσῃ θεραπεύσιμος, ὅτε δυσυχοῦν περίλυπος. δύο ποιοῦ καιροὺς τοῦ λέγειν, ἢ περὶ ὧν οἶσθα σαφῶς, ἢ περὶ ὧν ἀναγκαῖον εἰπεῖν. ἐν τούτοις γὰρ μόνοις ὁ λόγος τῆς σιγῆς κρείττων, ἐν δὲ τοῖς ἄλλοις, ἄμεινον σιγᾶν.

ἂν ἐκεῖνοι ἁμάρτοι, σοὶ τὰς αἰτίας ἀναθήσουσιν. ἐκ τῆς κοινῶν ὀπιμελείας ἀπαλλάττου, μὴ πλουσιώτερος, ἀλλ' ἐνδοξότερος. πολλῶν γὰρ χρημάτων κρείττων ὁ φθόνος τοῦ πλήθους ἔπαινος. μηδενὶ πονηρῷ θεάματι μήτε παίσαιο, μήτε συμπαίρῃ. δόξῃς γὰρ καὶ αὐτὸς τοιαῦτα θεμιτὰ, οἷάπερ ἂν τοῖς ἄλλοις θεμιτὰ βοηθῇς. μὴ δασκύαζε σεαυτὸν πλεονεκτεῖν μηδ' ὀλιγάκις, ἀνέχου δὲ τὸ ἴσον ἔχων. ἵνα δοκῇς ὀρέγεσθαι τῆς δικαιοσύνης, μὴ δι' ἀσθένειαν, ἀλλὰ δι' ὀπιθείκειαν. μᾶλλον ἀποδέχου δικαίαν πενίαν, ἢ πλοῦτον ἄδικον. τοσούτῳ γὰρ κρείττων δικαιοσύνη χρημάτων, ὅσῳ τὰ μὲν ζῶντας μόνον ὠφελεῖ, ἡ δὲ καὶ τελευτήσασι δόξαν παρασκευάζει. κἀκείνων μὲν τοῖς φαύλοις μέτεστι, ταύτης δὲ τοῖς μοχθηροῖς ἀδύνατον μεταλαβεῖν. μηδένα ζήλου τῶν ἐξ ἀδικίας κερδαινόντων, ἀλλὰ μᾶλλον

ὑπὲρ τῶν ἰδίων, ὑδέποτε καλῶς βουλεύσεται περὶ τῶν ἀλλοτρίων. ὅτῳ δ' ἂν μάλιστα βουλεύεσθαι παρέχωσιν εἰ τὰς ξυμφορὰς τὰς ἐκ τῆς ἀβουλίας ὑπολέλειφας· κἀγὼ τῆς ὑγιείας πλείστην ἐπιμέλειαν ἔχουμεν, ὅταν τὰς λύπας τὰς ἐκ τῆς ἀῤῥωστίας ἀναμιμνήσκωμεν. μιμοῦ τὰ τῶν βασιλέων ἤθη, καὶ δίωκε τὰ ἐκείνων ἐπιτηδεύματα· δόξεις γὰρ αὐτὸς ἀποδέχεσθαι, κἀζηλοῦν, ὥστε σοι συμβήσεται τῷ δόξαι τε τῷ πλήθει μᾶλλον εὐδοκιμεῖν, καὶ τῶν παρ' ἐκείνων εὐνοιαν βεβαιοτέραν ἔχειν. πείθου μὲν καὶ τοῖς νόμοις τοῖς ὑπὸ τῶν βασιλέων κειμένοις. ἰσχυρότατον μέν τοι νόμον ἡγοῦ τὸν ἐκείνων τρόπον. ὥσπερ γὰρ τὸν ἐν δημοκρατίᾳ πολιτευόμενον, τὸ πλῆθος δεῖ θεραπεύειν, οὕτω καὶ τὸν ἐν μοναρχίᾳ καθιστάμενον, τὸν βασιλέα θεραπεύειν θαυμάζειν. εἰς ἀρχὴν καταστὰς μηδενὶ χεῖρον πονηρὸς πρὸς τὰς διοικήσεις. ὧν γὰρ

ἂν

ὃν τοῖς λόγοις ἐλύπησαν, τούτῳ τοῖς ἔργοις τιμωρίαν ἔδοσαν. ὃς ἂν βούλῃ ποιήσασθαι φίλους, ἀγαθόν τι λέγε περὶ αὐτῶν πρὸς τοὺς ἀπαγγέλλοντας. ἀρχὴ μὲν γὰρ φιλίας ἔπαινος, ἔχθρας δὲ ψόγος. βουλεύμασι, παραδείγματα ποιοῦ τὰ παρελπυθότα τῶν μελλόντων. τὸ γὰρ ἀφανὲς ἐκ τοῦ φανεροῦ ταχίσην ἔχει τιμωρίαν. βουλοῦ μὲν βεβαίως, ὑπηρέτει δὲ ταχέως τὰ δόξαντα. ἡγοῦ κρεῖττον εἶναι μὲν θεοῦ δυτυχίαν, μηδὲ δὲ ἡμῶν αὐτῶν δυβουλίαν. περὶ ὧν ἂν αἰσχύνῃ παῤῥησιάσασθαι, βούλει δέ τισι τῶν φίλων ἀνακοινώσασθαι, χρῶ τοῖς λόγοις, ὡς περὶ ἀλλοτρίου τοῦ πράγματος. ὅπως γὰρ τιμῶν ἐκείνων τὸ γνώμιμον αἰσθήσῃ, καὶ σεαυτὸν ὑποκαταφανῆ ποιήσεις. ὅταν δὲ ὑπὲρ τῶν σεαυτοῦ μέλλῃς τινὶ συμβουλεύειν, σκόπει πρῶτον πῶς ὑπὲρ τῶν αὐτοῦ διάκηται· ὁ γὰρ κακῶς διακείμενος

εἰτας ἀχαρίστως χαριζόμενον, ὅπερ πάσχουσιν οἱ πολλοὶ, ποιοῦντες μὲν οὐ, ἀπλῶς δὲ τοῖς φίλοις ὑπουργοῦντες. μηδὲ φιλαίτιος ὢν, βαρὺ γὰρ· μηδὲ φιλεπίπληκτος, παροξυντικὸν γάρ. Μάλιστα μὲν οὖν λαβοῦ τὰς ἐν τοῖς πότοις συνουσίας· ἂν δέ ποτέ σοι συμπέσῃ καιρὸς, ἐξαίρισαι τὸ μέθης. ὅταν γὰρ ὁ νοῦς ὑπὸ οἴνου διαφθαρῇ, ταῦτα πάσχει τοῖς ἅρμασι, τοῖς τοὺς ἡνιόχους ἀποβάλλουσιν· ἐκεῖνά τε γὰρ ἀτάκτως φέρεται διαμαρτάνοντα τοῦ εὐθυνόντων, ἥτε ψυχὴ πολλὰ σφάλλεται, διαφθειρόσης τὴν διανοίας. ἀθάνατα μὲν φρονεῖ τοῦ μεγαλόψυχος εἶναι, θνητὰ δὲ τοῦ συμμέτρως τοῦ ὑπαρχόντων ἀπολαύειν. ἡγοῦ τὴν παιδείαν τοσούτῳ μεῖζον ἀγαθὸν εἶναι τῆς ἀπαιδευσίας, ὅσῳ τὰ μὲν ἄλλα μοχθηρὰ πάντες κερδαίνοντες ὠφελοῦσιν. αὕτη δὲ μόνη καὶ προσιζημίωσε τοὺς ἔχοντας. πολλάκις γὰρ

ὃν

ὥσπερ τὺς ἐξαπατῶντας. ἀμφότεροι γὸ πιςὺθέντες τὺς πιςύοντας ἀδικῶσιν. ἐὰν ἀποδέχῃ τῶν φίλων τὺς πρὸς τὸ φαυλότατόν σοι χαριζομένους, ὐχ ἕξεις ἐν τῷ βίῳ τὺς πρὸς τὸ βέλτιςον ἀπεχθανομένους. Γίγνε πρὸς τὺς πλησιάζοντας ὁμιλητικὸς, ἀλλὰ μὴ σεμνός. τῶν μὲν γὸ τὸν ὑπερφρονικὸν ὄγκον μόλις ἂν οἱ δῶλοι καρτερήσαιεν, τῶν δὲ τὸν ὁμιλητικὸν τρόπον ἅπαντες ἡδέως ὑποφέρουσιν. ὁμιλητικὸς δὲ ἔσῃ μὴ δύσκολος ὢν, μηδὲ δυσάρεσος, μηδὲ πρὸς πάντα φιλόνεικος, μηδὲ πρὸς τὰς τῶν πλησιαζόντων ὀργὰς ταχέως ἀπαντῶν, μηδ' ἂν ἀδίκως ὀργιζόμενοι τυγχάνωσιν· ἀλλὰ θυμουμένοις μὲν αὐτοῖς εἴκων, πεπαυμένοις δὲ τῆς ὀργῆς ὑπομίμνῃσκων. μηδὲ περὶ τὰ γελοῖα σπουδάζων, μηδὲ περὶ τὰ σπουδαῖα τοῖς γελοίοις χαίρων· τὸ γὸ ἄκαιρον παντάχῃ λυπηρόν· μηδὲ τὰς χά-

καλὸν, κακῶς ἱπποδρόμῳ. πρᾶσσε τὸν πλεῖστον χρήματα καὶ κτήματα κατασκευάζων. ἔστι δὲ χρήματα μὲν, τοῖς χρῆσθαι δυναμένοις. κτήματα δὲ, τοῖς ἀπολαύειν ἐπισταμένοις. τίμα τὴν ὑπάρχουσαν οὐσίαν δυοῖν ἕνεκα, τοῦτε ζημίαν μεγάλην κτίσαι, καὶ τῷ φίλῳ ἀναγκαίῳ δυσχρήστῳ βοηθῆσαι. πρὸς δὲ τὸν ἄλλον βίον μηδὲν ὑπερβαλλόντως, ἀλλὰ μετρίως αὐτὸν ἀγάπα· σέργε μὲν τὰ παρόντα, ζήτει δὲ τὰ βελτίω. μηδενὶ συμφορᾶν ὀνείδισης. κοινὴ γὰρ ἡ τύχη, καὶ τὸ μέλλον ἀόρατον. τοῖς ἀγαθοῖς ἐπίκειρε. καλὸς γὰρ θησαυρὸς φίλος ἀνδρὶ ἀναγκαίῳ χάρις ὀφλομένη. κακοῖς δ' ἐποίκειρε, ὅμοια πάσχειν τοῖς τὰς ἀλλοτρίας κυνὰς σπίζουσιν. σκληραί τε γὰρ τοῖς διδόντας, ὥσπερ τοῖς τυχόντας ὑλακτοῦσιν· οἵ τε κακοὶ τοῖς ὠφελοῦντας, ὥσπερ τοῖς βλάπτοντας ἀδικοῦσι. μίσει τοῖς κολακεύοντας.

ὥσπερ

θῆς. ὁμοίως αἰσχρὸν νόμιζε τὴν ἐχθρῶν νικᾶσθαι ταῖς κακοποιίαις, καὶ τὴν φίλων ἡττᾶσθαι ταῖς ἀνεργεσίαις. ἀνθίστασο τὴν ἑταίρων, μὴ μόνον τοὺς ὑπὸ τοῖς κακοῖς δυσχεραίνοντας, ἀλλὰ καὶ τοὺς ὑπὸ τοῖς ἀγαθοῖς μὴ φθονοῦντας. πολλοὶ μὲν γὰρ ἀτυχοῦσι τοῖς φίλοις συναχθονται, κακῶς δὲ σπανίως φθονοῦσι. Τῶν ἀπόντων φίλων μέμνησο σπεύδειν τοὺς παρόντας, ἵνα δοκῇς μηδὲ τούτων ἀπόντων ὀλιγωρεῖν. εἰ βούλει τὰ περὶ τὸν ἐδώδιμα φιλόκαλος, ἀλλὰ μὴ καλλωπιστής. ἔστι γὰρ φιλοκάλει μὲν, τὸ μεγαλοπρεπές, καλλωπιστὸν δὲ, τὸ περίεργον. ἀγάπα τὴν ὑπαρχόντων ἀγαθῶν μὴ τὸν ὑπερβάλλουσαν κτῆσιν, ἀλλὰ τὸν μέσην ἀπόλαυσιν. καταφρόνει τὴν περὶ τὸν πλοῦτον σπουδάζόντων, χρῆσθαι δὲ τοῖς ὑπάρχουσι μὴ δυναμένων· εὐδαιμόνεστον γὰρ οἱ τοιοῦτοι πάσχουσιν, ὥσπερ ἂν εἴπις ἵππον κτήσαιτο

τοῖς πρότερος φίλοις. ἔλπιζε γὰρ αὐτὸν, ἢν περὶ σὲ γνήσιος τοιοῦτον, οἷος καὶ περὶ ἐκείνους γέγονε· βεβαίως μὲν φίλος γίγνε, γνώμιμος δὲ, πρᾳότερος δὲ μὴ ἴσθι. ὁμοίως γὰρ αἰσχρὸν μηδένα φίλον ἔχειν, καὶ πολλοὺς ἑταίρους μεταλλάττειν. μήτε μὴν βλάβης πρᾳότερος τοὺς φίλων, μήτε ἄπρακτος εἶναι τοὺς ἑταίροις θέλε. τοῦτο δὲ ποιήσεις, ἂν μὴ δεόμενος, τὸ δεῖσθαι προαιρῇ. περὶ τῶν ῥητῶν, ὡς ἀπορρήτων ἀνακοίνου· μὴ τυχὼν μὲν γὰρ, αἰσθήσῃ· τυχὼν δὲ, μᾶλλον τὸν τρόπον αὐτῶν ἔπεισθήσῃ. δοκίμαζε τοὺς φίλους ἔκ τε τῆς περὶ τὸν βίον ἀτυχίας, καὶ τῆς ἐν τοῖς κινδύνοις κοινωνίας· τὸ μὲν γὰρ χρυσίον ἐν τῇ πενίᾳ δοκιμάζομεν, τοὺς δὲ φίλους ἐν ταῖς ἀτυχίαις διαγιγνώσκομεν. ὅτου δ' ἂν ἄρισα χρήσῃ τοῖς φίλοις, ἂν μὴ πρὸς μηδὲν τὰς παρ' ἐκείνων δεήσῃ, ἀλλ' αὐτεπάγγελτος ἐν τοῖς καιροῖς αὐτοῖς βοηθῇς.

ὑπολάβῃς, τὴν μὲν οἰκετῶν ἀρχὴν, ταῖς δ' ἡδοναῖς δουλείαν. ἐν δὲ τοῖς λυπηροῖς, ἂν τὰς τῶν ἄλλων ἀτυχίας ὑπομιμνήσκῃς, μὴ σεαυτὸν, ὡς ἄνθρωπος ὤν, ὑπομιμνήσκῃς. μᾶλλον πρὸς τὰς τῶν λόγων, ἢ τὰς τῶν χρημάτων ἀθανασίας. δεῖ γὰρ τὸν ἀγαθὸν ἄνδρα ῥόπον ὅρκου πιστότερον φαίνεσθαι παρεχόμενον. αἰσχύνην ἡγοῦ τοῖς πονηροῖς ἀπιστεῖν, ὥσπερ τοῖς χρηστοῖς πιστεύειν. περὶ τῶν ἀπορρήτων μηδενὶ λέγε, πλὴν ἐὰν ὁμοίως συμφέρῃ τὰς αἰτίας σιωπᾶσθαι σοί τε τῷ λέγοντι, καὶ ἐκείνοις τοῖς ἀκούσασιν. ὅρκον ἐπακτὸν προσδέχου μὴ δύο αἰτίαις, ἢ σεαυτὸν αἰτίας αἰρεθεὶς ἀπολύων, ἢ φίλους ἐκ κινδύνων διασώζων· ἕνεκα δὲ χρημάτων μηδένα θεὸν ὀμόσῃς, μηδ' ἂν δικαίως μέλλῃς. δόξεις γὰρ τοῖς μὲν ἐπιορκεῖν, τοῖς δὲ φιλοχρημάτως ἔχειν. μηδένα φίλον ποιοῦ πρὶν ἂν ἐξετάσῃς, πῶς κέχρηται

δὲ λόγῳ δὲ φροσήκοντος. ἔστι δὲ φιλοφροσυνείας μὲν, τὸ φροσφωνεῖν τοὺς ἀπαντῶντας· δὲ φροσηκοσύνης δὲ, τὸ τοῖς λόγοις αὐτοῖς οἰκείως ἐντυγχάνειν. ἡδέως μὲν ἔχε φρὸς ἅπαντας, χαλεφῶς δὲ τοῖς βελτίστοις. ὅτω γὰρ τοῖς μὲν ἐκ ἀπειθὴς ἔσῃ, τοῖς δὲ φίλος γνώσῃ. τὰς ἐντυξίας μὴ πυκνὰς ποιοῦ τοῖς αὐτοῖς, μὴ δὲ μακρὰς φρὸ τῶν αὐτῶν. πλησμονὴ γὰρ ἁπάντων. Γύμναζε σεαυτὸν φόνοις ἐκκαίοις, ὅπως ἂν δύνασθε, καὶ τοὺς ἀκκαίους ὑφομένειν. ὑφ' ὧν κρατεῖσθε τῷ ψυχρῷ αἰσχρὸν, τούτων ἐγκρατέσθαι ἅσκει πάντων, κέρδους, ὀργῆς, ἡδονῆς, λύπης. ἔσῃ δὲ τοιοῦτος, ἂν κέρδη μὲν εἰ νομίζῃς, δι' ὧν δόξεις μιμήσῃ, ἀλλὰ μὴ δι' ὧν δόξεις· τῇ δὲ ὀργῇ φολλαπλασίως ἔχῃς φρὸς τοὺς ἀμαρτάνοντας, ὥσπερ ἂν φρὸς σαυτὸν ἀμαρτάνοντα, καὶ τοὺς ἄλλους ἔχειν ἀξιώσῃς· ἐν δὲ τοῖς πεφωνοῖς, ἂν αἰσχρὸν

ὑφο-

προλάμβανε ταῖς ὑπισήμαις. ὁμοίως γὰρ αἰσχρὸν ἀκούσαντα χρήσιμον λόγον μὴ μανθάνειν, καὶ διδόμενόν τι ἀγαθὸν παρὰ τῶν φίλων μὴ λαμβάνειν. καταναλίσκε τῷ ἐν τῷ βίῳ σχολῷ, εἰς τὸ τῶν λόγων φιλοκαλίαν· ἔστω γὰρ τὰ τοῖς ἄλλοις χαλεπῶς κείμενα συμβήσεταί σοι ῥᾳδίως μανθάνειν. ἡγοῦ τῶν ἀκουσμάτων πολλὰ, πολλῶν εἶναι χρημάτων κρείττω. τὰ μὲν γὰρ ταχέως ἀπόλειπε, τὰ δὲ πάντα τὸν χρόνον παραμένει· σοφία γὰρ μόνη τῶν κτημάτων ἀθάνατον. μὴ κατόκνει μακρὰν ὁδὸν πορεύεσθαι πρὸς τὸ διδάσκειν τι χρήσιμον ἐπαγγελλόμενος. αἰσχρὸν γὰρ τοὺς μὲν ἐμπόρους τοὺς καὶ τὰ πέλαγη διαπερᾶν ἕνεκα τοῦ πλείω ποιῆσαι τὴν ὑπάρχουσαν οὐσίαν, τοὺς δὲ νεωτέρους μὴ δὲ τὰς κατὰ γῆν πορείας ὑπομένειν, ὅτι τῷ βελτίω καταστῆσαι τὴν ἑαυτῶν διάνοιαν. τῷ μὲν ζόπυρῳ γίγνε φιλοπρόσοδος, τῷ

κόσμον, αἰσχύνω, δικαιοσύνῃ, σωφροσύνῃ· τούτοις γὰρ ἅπασι δοκεῖ κρατεῖσθαι τὸ τῆς νεωτέρου ἦθος. μηδέποτε μηδὲν αἰσχρὸν ποιήσας ἔλπιζε λήσειν· καὶ γὰρ ἂν τοὺς ἄλλους λάθῃς, σαυτῷ γε συνειδήσεις. τὸν μὲν θεὸν φοβοῦ, τοὺς δὲ γονεῖς τίμα. τοὺς δὲ φίλους αἰσχύνου, τοῖς δὲ νόμοις πίθου· τὰς ἡδονὰς φεύγε, τὰς μὴ δόξης. τέρψις μὲν γὰρ σοὶ τῷ καλῷ μὲν, ἄριστον, ἄνευ δὲ τούτου, κάκιστον. διάβαλε τὰς διαβολὰς κἂν ψευδεῖς ὦσιν, οἱ μὲν πολλοὶ τὴν μὲν ἀλήθειαν ἀγνοοῦσιν, πρὸς δὲ τὴν δόξαν ἀποβλέπουσιν. ἅπαντα δόκει ποιεῖν ὡς μηδένα λήσων, κἂν μὲν παραυτίκα κρύψῃς, ὕστερον ὀφθήσῃ· μᾶλλον δ' ἂν δοκιμοίης, εἰ φαίνοιο ταῦτα μὴ πράττων, ἃ τοῖς ἄλλοις ἂν προστάττοις ποιεῖν. ἐὰν ᾖς φιλομαθὴς, ἔσῃ καὶ πολυμαθής. ἃ μὲν δεῖ ἐπίστασθαι, διαφύλαττε ταῖς μελέταις· ἃ δὲ μὴ μεμάθηκας,

προσ-

τοῖς ὅρκοις ἐμμένων· σκεῖνο μὲν γὰρ τῆς τῶν χρημάτων ἀπορίας σημεῖον, τοῦτο δὲ, τῆς τῶν τρόπων καλοκἀγαθίας τεκμήριον. τίμα τὸ δαιμόνιον ἀεὶ μὲν, μάλιστα δὲ μετὰ τῆς πόλεως· ὕτω γὰρ δόξεις ἅμα τε τοῖς θεοῖς θύειν, καὶ τοῖς νόμοις ἐμμένειν· τοιοῦτος γίγνου περὶ τοὺς γονεῖς, οἵους ἂν ἄξιον περὶ σεαυτὸν γενέσθαι τοὺς σαυτοῦ παῖδας· ἄσκει τὸν περὶ τὸ σῶμα γυμνασίων, μὴ τὰ πρὸς τὸν ῥώμην, ἀλλὰ τὰ πρὸς τὴν ὑγιείαν συμφέροντα· τοῦτο δ' ἂν ὑπομείνοις, εἰ λήγεις τῶν πόνων ἔτι πονεῖν δυνάμενος. μήτε γέλωτα πρόσπιπτε σέργε, μήτε λόγον μὴ θεάσας ἀποδέχου, τὸ μὲν γὰρ ἀνόητον, τὸ δὲ μανικόν. ἃ ποιεῖν αἰσχρὸν, ταῦτα νόμιζε μηδὲ λέγειν εἶναι καλόν. ἔθιζε σαυτὸν εἶναι μὴ σκυθρωπὸν, ἀλλὰ σώφρονα· τὸ μὲν γὰρ ἀυθάδης, τὸ δὲ τοῦ φρόνιμος εἶναι δόξεις. πηγὴ μάλιστα σεαυτῷ πρόσεχε,

νε ξόπον ἡγησάμενον, μιμητὴν δὲ καὶ ζηλωτὴν τῆς παρούσης ἀρετῆς γιγνόμενον· αἰσχρὸν γὰρ τοὺς μὲν γραφεῖς ἀπεικάζειν τὰ καλὰ τοῖς ζώοις, τοὺς δὲ παῖδας μὴ μιμεῖσθαι τοὺς σπουδαίους τῶν γενέων. ἡγοῦμαι δὲ μηδενὶ τῶν ἀθλητῶν ἧττον προσήκειν ὅπως τοὺς ἀνταγωνιστὰς ἀσκεῖν, ὡς σοὶ σκοπεῖν, ὅπως ἐφάμιλλον γνώσῃ τοῖς τοῦ παρόντος ὑπηρδύμασιν· ἧττον δὲ τῷ γνώμῃ ἀδύνατον διατεθῆναι, τὸν μὴ πολλῶν καὶ καλῶν ἀκουσμάτων πεπληρωμένον. τὰ μὲν γὰρ σώματα τοῖς συμμέτροις πόνοις, ἡ δὲ ψυχὴ τοῖς σπουδαίοις λόγοις αὐξεσθαι πέφυκε· διόπερ ἐγώ σοι πειράσομαι συντόμως ὑποθέσθαι, δι' ὧν ἂν μοι δοκοίης ὑπηρδυμάτων πλεῖσον προσκτήσασθαι, καὶ πρὸς τοῖς ἄλλοις ἅπασιν ἀνθρώποις δόκιμῆσαι· πρῶτον μὲν εἶναι δυσεβῆ τὰ πρὸς τοὺς θεοὺς, μὴ μόνον θύων, ἀλλὰ καὶ

τοῖς

τῆς, ὐδὲ ῥαθυμῶν, διετέλεσε τὸν βίον· ἀλλὰ τὸ μὲν σῶμα τοῖς πόνοις ἐγύμναζε, τῇ δὲ ψυχῇ τὰς κινδύνους ὑπέμενεν· ὐδὲ τὸν πλοῦτον ὡδιαφόρως ἠγάπα· ἀλλ' ἀπήλαυε μὲν τῶν παρόντων ἀγαθῶν ὡς θνητὸς, ἐπεμελεῖτο δὲ τῶν ὑπαρχόντων ὡς ἀθάνατος· ὐδὲ ταπεινῶς διῴκει τὸν ἑαυτοῦ βίον, ἀλλὰ φιλόκαλός τε ἦν, καὶ μεγαλοπρεπὴς, καὶ τοῖς φίλοις κοινός· ἐμάλλον ἐθαύμαζε τὰς περὶ αὐτὸν ἀνδριάζοντας, ἢ τὰς τῶν ζώων ποσότητας· ἡγεῖτο γὰρ εἶναι πολλῷ κρείττω φύσιν νόμου, καὶ ζόφον ζωῆς, καὶ περαίρεσιν ἀνάγκης· ὅπλίτοι δ' ἂν ἡμᾶς ὁ πᾶς χρόνος, εἰ πάσας τὰς ἐκείνων ποιήσεις καταριθμησαίμεθα, ἀλλὰ τὸ μὲν ἀκριβὲς αὐτῶν ἐν ἑτέροις καιροῖς δηλώσομεν· δεῖγμα δὲ τῆς Ἱπποκράτους φύσεως νῦν ἐξενηνόχαμεν, ποιὸς ὅ δεῖ ζῆν σε, ὡσπερ ποιὸς ὡδάδηγμα, νόμον μὲν τὸν ἐκεί-

ἔχοντας ἔβλαψε, & τὰ μὲν σώματα τῆ ἀσκήσει κόσμησε, ταῖς δὲ τῆς ψυχῆς ἐπιμελείαις ἐπεσκότησεν· ἡ δὲ τῆς ἀρετῆς κτῆσις, οἷς ἂν ἀκριβῶς ταῖς διανοίαις ξυναυξηθῆ, μόνη μὲν συμφέρουσα, πλεῖστα δὲ κρείττων, χρησιμωτέρα δὲ ὠφελείας ὄσης· τὰ μὲν τοῖς ἄλλοις ἀδύνατα, δυνατὰ καθιστῶσα, τὰ δὲ τῷ πλήθει φοβερὰ, θαρσαλέως ὑπομένουσα· & τὸν μὲν ὄκνον, φόβον, τὸν δὲ πόνον, ἔπαινον ἡγεμένη· ῥᾴδιον δὲ τὸ καταμαθεῖν ἔστιν ἔκ τε τῆ Ἡρακλέους ἄθλων, καὶ τῆ Θησέως ἔργων· οἷς ἡ τῆ ζόπων ἀρετὴ πλεῖστον δόξαις χαρακτῆρα τοῖς ἔργοις ἐπίβαλεν, ὥς τε μὴ δὲ τὸν ἅπαντα χρόνον δύναθ' ἑλλήθην ἐμποιῆσαι τῶν ἐκείνοις πεπραγμένων. ὃ μὲν ἀλλὰ καὶ τὰς τὸ παῖδος περιαιρέσεις ἀναμνησθείς, οἰκεῖον καὶ καλὸν ἔξεις παράδειγμα τῶν ὑπ' ἐμὲ λεγομένων. ὃ δὲ γὲ ὀλιγωρῶν τῆς ἀρε-

τῆς,

πεφυκέναι δόξῃσι, τοσούτῳ μᾶλλον ἐκείνων τοὺς ἀκούοντας ὠφελοῦσιν, ὅσον οἱ μὲν ὅτι λόγον μόνον ψυχαγωγοῦσιν, οἱ δὲ καὶ τὸν τρόπον αὐτῶν ἐπανορθοῦσι· διόπερ ἡμεῖς οὐ ψυχάγωγοι δοκοῦντες, ἀλλὰ παραίνεσιν γράψαντες, μέλλομέν σοι συμβουλεύειν, ὧν χρὴ τοὺς νεωτέρους ὀρέγεσθαι, καὶ τίνων ἔργων ἀπέχεσθαι, καὶ ποίοις τισὶν ἀνθρώποις ὁμιλεῖν, καὶ πῶς τὸν ἑαυτῶν βίον οἰκονομεῖν, ὅσοι γὰρ τῷ βίῳ ταύτην τὴν ὁδὸν ἐπορεύθησαν, ὅτοι μόνοι τῆς ἀρετῆς ἐφικέσθαι γνησίως ἐδυνήθησαν, ἧς οὐδὲν κτῆμα σεμνότερον, οὐδὲ βεβαιότερόν ἐστι· κάλλος μὲν γὰρ ὁ χρόνος ἀνάλωσεν, ἢ νόσος ἐμάρανε· πλοῦτος δὲ κακίας μᾶλλον, ἢ καλοκαγαθίας ὑπηρέτης ἐστίν, ἕξεσίαν μὲν τῇ ῥᾳθυμίᾳ ψυχαγωγοῦσα, ὅτι δὲ τὰς ἡδονὰς τοὺς νέους ψυχαγωγοῦν, ῥώμην δὲ μὴ μὲν φρονήσεως ὠφέλησεν, ἀλλὰ δὲ ταύτης πλέω τοὺς

ἔχον-

νας, καὶ παιδείας ἀντιποιουμένους, τῶν παιδαίων, ἀλλὰ μὴ τῶν φαύλων ἐπιμιμητὰς, ἀπεσκληκόσι τὸν δὲ τὸν λόγον δώσειν, τεκμήριον μὲν τῆς πρὸς ἡμᾶς φιλίας, σημεῖον δὲ τῆς πρὸς Ἰατρόνικον συνηθείας. πρέπειν γὰρ τοὺς παῖδας, ὥσπερ τῆς οὐσίας, οὕτω καὶ τῆς φιλίας τῆς πατρικῆς κληρονομεῖν. ὁρῶ δὲ καὶ τοῖς τύχοις ἡμῖν συλλαμβάνουσαν, καὶ τὸν παρόντα καιρὸν συναγωνιζόμενον, σὺ μὲν γὰρ παιδείας ἐπιθυμεῖς, ἐγὼ δὲ παιδεύειν ἄλλους ἐπιχειρῶ, καὶ σὺ μὲν ἀκμιεῖ φιλοσοφεῖς, ἐγὼ δὲ τοὺς φιλοσοφοῦντας ἐπανορθῶ. ὅσοι μὲν οὖν πρὸς τοὺς ἑαυτῶν φίλους τοὺς προτρεπτικοὺς λόγους συγγράφουσι, καλὸν μὲν ἔργον ἐπιχειροῦσιν, ἀμείνω δέ γε τὸ κεφάλαιον τῆς φιλοσοφίας διαιροῦσιν. ὅσοι δὲ τοῖς νεωτέροις εἰσηγοῦνται, μὴ δι' ὧν τὴν διανόησιν τὴν ἐν τοῖς λόγοις ἀσκήσουσιν, ἀλλ' ὅπως τὰ τῶν ῥόπων ἤδη παιδαίοις

πε-

ΙΣΟΚΡΑΤΟΥΣ

ΠΡΟΣ

ΔΗΜΟΝΙΚΟΝ

ΛΟΓΟΣ ΠΑΡΑΙΝΕΤΙΚΟΣ.

Ἐ'Ν πολλοῖς μὲν ὦ Δημόνικε τῶν λόγων διεσώσας εὑρήσομεν τάς τε τῶν ἀγαθῶν γνώμας, καὶ τὰς τῆς φαύλων διανοίας, πολὺ δὲ μεγίστην διαφορὰν εὑρήσομεν ἐν ταῖς πρὸς ἀλλήλους συνηθείαις· οἱ μὲν γὰρ τοὺς φίλους παρόντας μόνον τιμῶσιν· οἱ δὲ καὶ μακρὰν ἀπόντας ἀγαπῶσι· καὶ τὰς μὲν τῶν φαύλων συνηθείας ὀλίγος χρόνος διέλυσε· τὰς δὲ τῶν ἀγαθῶν φιλίας, οὐδ' ἂν ὁ πᾶς αἰὼν ἐξαλείψειεν· ἡγεμόνα γὰρ ἔχειν τοὺς δόξης ὀρεγομένους,

ΔΙ. Οὐκ ἰσότιμος, ὦ γυναιότατε· ἐγὼ γὰρ. Μαύσωλος μὲν γὰρ οἰμώξεται, μεμνημένος τῆς ὑπὲρ γῆς, ἐν οἷς ἐδαιμονεῖν ᾤετο. Διογένης δὲ καταγελάσεται αὐτοῦ· καὶ τάφον ὁ μὲν ἐν Ἁλικαρνασσῷ ἐρεῖ ἑαυτῷ ὑπὸ Ἀρτεμισίας τῆς γυναικὸς, καὶ ἀδελφῆς κατεσκευασμένον· ὁ Διογένης δὲ τοῦ μὲν σώματος, εἰ καί τινα τάφον ἔχει, οὐκ οἶδεν· οὐδὲ γὰρ ἔμελεν αὐτῷ τούτου· λόγον δὲ τοῖς ἀείσοις περὶ αὐτοῦ καταλέλοιπεν, ἀνδρὸς βίον βελτιωνῶς ὑπηλότερον, ὦ Καρὸν ἀνδραποδωδέστατε, τοῦ σοῦ μιήματος, ἐν βεβαιοτέρῳ χωρίῳ κατεσκευασμένον.

ΔΙ. Ἐπὶ τῇ βασιλείᾳ φῂς, καὶ πρὸ κάλλει, καὶ τῷ βάρει τῶ τάφω; ΜΑ. Νὴ Δί ὅτι τούτοις. ΔΙ. Ἀλλ' ὦ καλὲ Μαύσωλε, ὅτε ἡ ἰσχὺς ἔπι σοὶ σκέπη, ὅτε ἡ μορφὴ πάρεστιν· εἰ γὰρ τίνα ἐλοίμεθα δικασὴν εὐμορφίας πέρι, οὐκ ἔχω εἰπεῖν τίν ἕνεκα τὸ σὸν κρανίον θεωρήσειεν ἂν τὸ ἐμόν· φαλακρὸν γὸ ἄμφω, καὶ γυμνά· καὶ τοὺς ὀδόντας ὁμοίως θεωφαίνομεν, καὶ τοὺς ὀφθαλμοὺς ἀφηρήμεθα, καὶ τὰς ῥῖνας ἀποσεσημώμεθα· ὁ δὲ τάφος, καὶ οἱ πολυτελεῖς σκεῖνοι λίθοι, Ἀλικαρναασσῶσι μὴ ἴσως εἶεν ὑποδείκνυσθαι, καὶ φιλοτιμεῖσθαι θεοὺς τοὺς ξένους, ὡς δή τι μέγα οἰκοδόμημα αὐτοῖς ὄξιν· σὺ δὲ ὦ βέλτιστε, οὐκ ὀρθῶ ὅ, τι ἀπολωλεῖς αὐτῷ, πλὴν εἰ μὴ τοῦτο φῂς, ὅτι μᾶλλον ἡμῶν ἀχθοφορεῖς ὑπὸ τηλικούτοις λίθοις πέζομεν. ΜΑ. Ἀνόνητα ἔν μοι σκεῖνα πάντα· καὶ ἰσότιμος ἔσαι Μαύσωλος, καὶ Διογένης;

ΔΙ.

Διογένης, Μαύσωλος.

ε.

ΔΙ. Ω Κάρ, ὅτι τίνι μέγα φρονεῖς, καὶ πάντων ἡμῶν τετιμῆσθαι ἀξιοῖς; ΜΑ. Καὶ ὅτι τῇ βασιλείᾳ μου, ὦ Σινωπεῦ, ὃς ἐβασίλευσα Καρίας μιᾶς ἁπάσης, ἦρξα δὲ καὶ Λυδῶν ἐνίων· καὶ νήσους δὲ πινὰς ὑπηγαγόμην, καὶ ἄχρι Μιλήτου ἔπεβην, τὰ πολλὰ τῆς Ἰωνίας καταστρεφόμενος· καὶ καλὸς ἦν, καὶ μέγας, καὶ ἐν πολέμοις καρτερός· τὸ δὲ μέγιστον, ὅτι ἐν Ἁλικαρνασσῷ μνῆμα παμμέγεθες ἔχω ὑπικείμενον, ἡλίκον οὐκ ἄλλος νεκρός, ἀλλ' οὐδὲ ὅστις ἐς κάλλος ἐξησκημένον, ἵππων, καὶ ἀνδρῶν ἐς τὸ ἀκριβέστατον εἰκασμένων, λίθου τοῦ καλλίστου, οἷον οὐδὲ νεὼν ἄν τις ῥᾳδίως· οὐ δοκῶ σοι δικαίως ὅτι τούτοις μεγαφρονεῖν;

ΔΙ.

ἐκώκυε, & τὰ ἑαυτῦ πωλία ὠδύρετο, & πανοῖος ἐγένετο. ΜΕ. Οὐκοῦν σοφιστὴς ὁ ἀνθρωπος ἦν, & οὐκ ἀληθῶς καταφρόνει τῦ πραγμάτος; ΚΕ. Οὐκ ἀλλ' ἐπειδὴ ἀναγκαῖον αὐτὸ ἑώρα, καταθρασύετο, ὡς δῆθεν οὐκ ἄκων πεισόμενος, ὃ πάντως ἔδει παθεῖν, ὡς θαυμάσονται οἱ θεαταί· & ὅλως περὶ πάντων τῶν γε τῶν τοιούτων εἰπεῖν ἂν ἔχοιμι, ἕως τῦ σοφίσματος, ἀνδρεῖοι, τάδ' ἔνδοθεν, ἔλεγχος ἀκριβής. ΜΕ. Ἐγὼ δὲ πῶς σοι κατελιλυθέναι ἔδοξα; ΚΕ. Μόνος, ὦ Μένιππε, ἀξίως τῦ γένους, & Διογένης πρὸ σοῦ· ὅτι μὴ ἀναγκαζόμενοι ἐσήμεθε, μηδ' ὠθούμενοι· ἀλλ' ἐθελούσιοι, γελῶντες, οἱ μώζειν ὑποφθέγγεσθαι ἅπασιν.

Διο-

ποίει· πλὴν οἶδα, ὅτι ἀδύνατον ἐξῆς.

Μένιππος, & Κέρβερος.

ΝΑ'.

ΜΕ. Ὦ Κερβέρε, συγγνώμης γὰρ εἰμί σοι, κύων ἢ ἀνθρωπος ὤν, εἰπέ μοι πρὸς τῆς Στυγὸς, οἷος ἦν ὁ Σωκράτης, ὁπότε κατήει πρὸς ὑμᾶς; εἰκὸς δὲ σὲ θεὸν ὄντα μὴ ὑλακτεῖν μόνον, ἀλλὰ ἢ ἀνθρωπικῶς φθέγξεσθαι, ὁπότε ἐθέλοις. ΚΕ. Πόρρωθεν μὲν, ὦ Μένιππε, παντάπασιν ἐδόκει ἀτρέπτῳ προσώπῳ προσιέναι, & ὑπὸ πάνυ δεδιέναι τὸν θάνατον δοκῶν, & τοῦτο ἐμφῦναι τοῖς ἔξω τοῦ σοφοῦ ἔστιν ἐθέλων· ἐπεὶ δὲ κατέκυψεν εἴσω τοῦ χάσματος, & εἶδε τὸν ζόφον, κἀγὼ ἔτι δεδιὼς μέλλοντα αὐτὸν δακεῖν τῷ κωνείῳ κατέπασα τοῦ ποδὸς, ὥσπερ τὰ βρέφη ἐκεῖ-

μόνον, ὦ Ἥφαιστε, θαῤῥῶν· οἶδα γὰρ ἐγὼ τὸ συμφέρον. ΗΦ. Ἄκων μὲν καθίσω δὲ· τί γὰρ ἐχρὴ ποιεῖν, σοῦ κελεύοντος; τί τοῦτο; κόρη ἔνοπλος; μεγάλη, ὦ Ζεῦ, κακὸν εἶχες ἐν τῇ κεφαλῇ· εἰκότως γοῦν ὀξύθυμος ἦσθα, τηλικαύτην ὑπὸ τῷ μήνιγγα παρθένον ζωογονῶν, καὶ ταῦτα ἔνοπλον· ἦσθα γὰρ τόπεδον, ἐν κεφαλῇ ἐλελήθεις ἔχων· ἡ δὲ πηδᾷ καὶ πυῤῥιχίζει, κἀτινάσσει τὰς αἰγίδα, κἀ τὸ δόρυ πάλλει, κἐνθουσιᾷ· κἀ τὸ μέγιστον, καλὴ πάνυ, κἀκμαία γεγένηται ἤδη ἐν βραχεῖ· γλαυκῶπις μέν, ἀλλὰ κοσμεῖ κἀτοῦτο ἡ κόρυς· ὥστε, ὦ Ζεῦ, μαίωτρά μοι ἀπόδος ἐγχύσας μοι αὐτήν. Ζ. Ἀδύνατα αἰτεῖς, ὦ Ἥφαιστε· παρθένος γὰρ ἀεὶ θέλει μένειν· ἐγὼ γοῦν τόγε ἐπ' ἐμοὶ, ἐδὲν ἀντιλέγω. ΗΦ. Γοῦν ἐβουλόμην· ἐμοὶ μελήσει τὰ λοιπά. Καὶ ἤδη συναρπάσω αὐτήν. Ζ. Εἰ σοι ῥᾴδιον ἔστω, ποίει.

Ἥφαιστος, Καὶ Ζεύς.

γ'.

ΗΦ. Τί με, ὦ Ζεῦ, δεῖ ποιεῖν; ἥκω γὰρ, ὡς ἐκέλευσας, ἔχων τὸν πέλεκυν ὀξύτατον, εἰ καὶ λιθὸς δοκεῖ μιᾷ πληγῇ διατεμεῖν. Ζ. Εὖγε, ὦ Ἥφαιστε, ἀλλὰ δίελέ μου τὴν κεφαλὴν εἰς δύο, κατενεγκών. ΗΦ. Πειρᾶ μου, εἰ μέμηνα; σκόπει δ' ἂν τ' ἀληθὲς, ὅπερ θέλεις σοὶ γενέσθαι. Ζ. Διαρρεθῆναί μοι τὸ κρανίον, εἰ δὲ ἀπειθήσεις, ὑ νεῦ σκῆπτον ὀργιζομένου πειράσῃ μου· ἀλλὰ χρὴ καθικνεῖσθαι πάντα τῷ θυμῷ, μηδὲ μέλλειν· ἀπόλλυμαι γὰρ ὑπὸ τῆς ὠδῖνος, αἵ μου τὸν ἐγκέφαλον ἀναστρέφουσιν. ΗΦ. Ὄρα, ὦ Ζεῦ, μὴ κακόν τι ποιήσωμεν· ὀξὺς γὰρ ὁ πελεκύς ἐστι, καὶ οὐκ ἀναμωτὶ, οὐδὲ κατὰ τὼ Εἰλείθυιαν μαιώσεταί σε. Ζ. Κατένεγκε μὴ-

λογιζόμενον τὰ πορθμία. ΕΡ. Νωῦ ἔγ ἐγὼ καθεδοῦμαι, τὰ κάκιστα ἀχόμενος γενέσθαι, ὡς ἂν ἀπὸ τούτων ἀπολαύσιμι. ΧΑ. Οὐκ ἔστιν ἄλλως, ὦ Ἑρμῆ· νωῦ δὲ ὀλίγοι, ὡς ὁρᾷς, ἀφικνοῦνται ἡμῖν· εἰρήνη γάρ. ΕΡ. Ἄμεινον ἔπος, εἰ καὶ ἡμῖν πολεμοῦσι ὑπὸ σοῦ ὄφλημα· πλὴν ἀλλ' οἱ μὲν παλαιοὶ, ὦ Χάρον, οἶσθα οἵοι παρεγίνοντο, ἀνδρεῖοι ἅπαντες, αἵματος ἀνάπλεω, καὶ τραυματίαι οἱ πολλοί· νωῦ δὲ ἢ φαρμάκῳ τις ὑπὸ τοῦ παιδὸς ἀποθανὼν, ἢ ὑπὸ τῆς γυναικὸς, ἢ ὑπὸ τρυφῆς ἐξωδηκὼς τὴν γαστέρα, καὶ τὰ σκέλη· ὠχροὶ γὰρ ἅπαντες, καὶ ἀγυιεῖς, οὐδὲ ὅμοιοι ἐκείνοις· οἱ δὲ πλεῖστοι αὐτῶν δὴ χρήματα ἥκουσιν, ὑπερβαλλόντες ἀλλήλοις, ὡς ἔοικασι. ΧΑ. Πάνυ γὰρ φειπόδητά ἐστι ταῦτα. ΕΡ. Οὐκοῦν οὐδ' ἐγὼ δόξαιμι ἂν ἁμαρτάνειν πικρὸς ἀπαιτῶν τὰ ὀφειλόμενα παρὰ σοῦ.

περὶ ἀυτῶν. ΧΑ. Λογισώμεθα, ὦ Ἑρμῆ· ἄμεινον γὰρ ὀείσας περὶ ἀυτῶν, καὶ ἀπραγμονέστερον. ΕΡ. Ἄγκυραν ἐντειλαμένῳ σκόμματα πέντε δραχμῶν. ΧΑ. Πολλὰ λέγεις. ΕΡ. Νὴ τὸν Ἀϊδωνέα, τρὶς πέντε ὠνησάμην, καὶ τεττάρων δύο ὀβολῶν. ΧΑ. Τίθει πέντε δραχμὰς, καὶ ὀβολὰς δύο. ΕΡ. Καὶ ἀκέστραν ἀφ' ἑστίας, πέντε ὀβολὰς ἐγὼ κατέβαλον. ΧΑ. Καὶ τούτους προσίθει. ΕΡ. Καὶ κηρὸν ὡς ἐπιπλάσαι τὰ σκαφίδια τὰ ἀνεωγότα, καὶ ἦλας δὲ, καὶ καλώδιον, ἀφ' ὧν τιὼ ὑπέραν ἐποίησας, δύο δραχμῶν ἀπαντα. ΧΑ. Εὖγε ἄξια ταῦτα ὠνήσω. ΕΡ. Ταῦτά ἐστιν, εἰ μή τι ἄλλο ἡμᾶς διέλαθεν ἐν τῷ λογισμῷ· ὥστε δ' ἂν ταῦτ' ἀποδώσειν φῄς. ΧΑ. Νὴ μὰ τὸν, ὦ Ἑρμῆ, ἀδύνατον, ἢν δὲ λοιμός τις, ἢ πόλεμος καταπέμψῃ ἀθρόους πνὰς, ἐνέσῃ τότε ἀποκερδάναι ἐν τῷ πλήθει τῶν ἁλο-

λο-

κὴ καταδῶν, κὴ καζαγελῶν. ΚΡ. Ταῦτα ἐχ' ὕβεις; ΜΕ. Οὐκ· ἀλλ' ἐκεῖνα ὕβεις ἦν, ἃ ὑμεῖς ἐποιεῖτε φρονιμωτέρως ἀξιοῦντες, κὴ ἐλαθέρως ἀνδράσιν ἐντρυφῶντες, Ϛ τὸ θανάτῳ τὸ παρόντων ἐμμονδύοντες· τοιγαρῶν οἰμώζετε πάντων ἐκείνων ἀφηρημένοι. ΚΡ. Πωλλῶν γε, ὦ θεοὶ, κὴ μεγάλων κτημάτων. ΜΙ. Οἷσπερ μὲν ἐγὼ χρυσῷ. ΣΑ. Οἷσπερ δ' ἐγὼ τρυφῇς. ΜΕ. Εὖγε, ἕτω ποιεῖτε, ὀδύρεσθε μὲν ὑμεῖς· ἐγὼ δὲ τὸ γοᾶθαι σαυτὸν πολλάκις συνέφρων, ἐωφόσμαι ὑμῖν· φρόνιμοι γὰρ ἂν ταῖς τοιαύταις οἰμωγαῖς ἐπεδόμουν.

Ἑρμῆς, Χάρων.

β'.

ΕΡ. Λογισώμεθα, ὦ Χάρων, εἰ δοκεῖ, ὁπόσα μοι ὀφείλεις ἤδη, ὅπως μὴ αὖθις ἐρίζωμεν περὶ

μὲν ὑ Τοσὶ τῶ χρυσίω, Σαρδανάπαλος δὲ τῆς πολλῆς τρυφῆς, ἐγὼ δὲ τῶν θησαυρῶν, ἐπιγελᾷ, ⁊ ὀξυνεδίζει, ἀνδράποδα, ⁊ καθάρματα ἡμᾶς ἀποκαλῶν· ἐνίοτε δὲ ⁊ ᾄδων ὅπως ἐράπει ἡμῶν τὰς οἰμωγάς· ⁊ ὅλως λυπηρὸς ὅλος. ΠΛ. Τί ταῦτα φασὶν, ὦ Μένιππε; ΜΕ. Ἀληθῆ, ὦ Πλούτων· μισῶ γὰρ αὐτὸς ἀγεννεῖς, ⁊ ὀλεθρίους ὄντας, οἷς ὐκ ἀπέχρησε βιῶναι κακῶς, ἀλλὰ καὶ ἀποθανόντες ἔτι μέμνηνται, ⁊ φθονοῦσι τῷ ἄνω· χαίρω τοιγαροῦν ἀνιῶν αὐτούς. ΠΛ. Ἀλλ' ὑ χρή, λυπῦνται γὰρ ὑ μικρῶν στερόμενοι. ΜΕ. Καὶ σὺ μωραίνεις, ὦ Πλούτων, ὁμόψηφος ὢν τοῖς τύπων στεναγμοῖς. ΠΛ. Οὐδαμῶς· ἀλλ' ὐκ ἂν ἐθελήσαιμι σασιάζειν ὑμᾶς. ΜΕ. Καὶ μὴν, ὦ κάκιστοι Λυδῶν, ⁊ Φρυγῶν, ⁊ Ἀσυρίων, ἔτι γνώσεσθε, ὡς ὐδὲ παυσομένου μου, ἔνθα γὰρ ἂν ἦτε, ἀκολουθήσω ἀνιῶν,

⁊

ΛΟΥΚΙΑΝΟΥ ΔΙΑΛΟΓΟΙ.

Κροῖσος, Πλούτων, Μένιππος Μίδας, Σαρδαναπάλος.

ά.

ΚΡ. Τ' φέρεμεν, ὦ Πλούτων, Μένιππον τετονὶ τὸν κύνα παροικῆντα· ὥστε ἢ ἐκεῖνόν τοι κατάσπουν, ἢ ἡμεῖς μετοικήσομεν εἰς ἕτερον τόπον. ΠΛ. Τί δ' ὑμᾶς δεινὸν ἐργάζεται ὁμόσκηνος ὤν; ΚΡ. Ἐπειδὰν ἡμεῖς οἰμώζομεν, καὶ στένομεν, ἐκείνων μεμνημένοι τῶν ἄνω, Μίδας

Imprimatur,

Si videbitur Rmo Patri Magiſtro Sacri Palatii Apoſtolici.

F. M. Archiepiſcopus Tarſi Viceſgerens.

Imprimatur,

Fr. Nicolaus Ridolfi Magiſter Sacri Palatii Apoſtolici Ordinis Prædicatorum.

ΛΟΥ-

ligerem, atque eo ordine conlocarem, ut a facilioribus, & ad Tironum captum magis accommodatis ad difficiliora fieret transitus, quo fore confido, ut nihil a rudioribus, nihil ab eis, quī aliquantum profecerint, desideretur. Valete.

teneant, adeo tamen dialectis implexi plerumque sunt, ut Tirones facile in ipso veluti limine deterreant, atque a Græcæ linguæ studio ita abjiciant, ut, ex quo maximus fructus sperabatur, id maxime sit fraudi: illorum vero scripta, quamvis captu faciliora sint, magnamque utilitatem contineant, ac pariant, quum tamen & poëtica amœnitate, qua maxime ducimur, destituantur, & dialectis, quæ ad perfectam græci sermonis cognitionem sunt maxime necessariæ, si paucos demas, omnino careant, non sola legenda arbitror. Iccirco quo magis consultum vobis prospectumque foret, & utilitatem amœnitati conjunctam haberetis, illud mihi sumsi, ut nonnulla ex utrisque se-

lige-

ΦΙΛΕΛΛΗΝΙ JUVENTUTI

TYPOGRAPHUS S.

OPTABAM jamdiu, Adoleſcentes optimi, vobis, qui Græcæ linguæ datis operam, induſtria prodeſſe mea; quod fuit in cauſſa, cur de aliquo Græci Scriptoris opere formis excudendo cogitarem. Multi illi quidem tum ex Oratoribus, tum etiam ex Poëtis occurrebant animo; Verum hi, licet verſu alliciant, ac

Digitized by Google

ΕΚΛΕΚΤΑ

ΤΩΝ

ΕΛΛΗΝΙΚΩΝ

ΓΡΑΦΕΩΝ.

SELECTA

EX GRÆCIS

SCRIPTORIBUS.

ROMÆ, MDCCXLV.

Typis Joſephi Collini.

SUPERIORUM FACULTATE.

Si vendono a Paſquino nella Libraria di Gio: Lorenzo Barbiellini.

Digitized by Google